Very intriguing is the question from which source(s) the sayings of the emperors from Claudius II through Philippikos have been drawn. As already has been said, these sayings have little or no correspondence with collections as brought together by Plutarch, or by modern scholars as Wachsmuth[9], Karathanasis[10] and others. Some of the sayings are very trivial[11], others can be found also in Theophanes or Zonaras[12], others can be distilled from a situation described either by the author himself or by a source, but most of them seem to be original, that is, seem to be taken from a collection of sayings of the emperors, a collection unknown at least to me, but perhaps a relict of the encyclopedial activities carried out by Constantine VII Porphyrogennetus. At any rate, this collection is one of the most interesting aspects of the *Historia Syntomos*.

After Theophanes Confessor the material is often taken from the *Continuatio Theophanis*, but seldom in a comparable wording. When there are comparable texts they have mostly resemblance with Zonaras, only seldom with Scylitzes. In some cases one may find cognate passages in the Σύνοψις Χρονική of Const. Manasses or even in the work of Skutariotes = *Anonymus Sathae*.

---

[9] C. Wachsmuth, *Die Wiener Apophthegmensammlung*, Österr. Akad. Wiss. (1882), 1–36.

[10] D. K. Karathanasis, *Sprichwörter und sprichwörtliche Redensarten des Altertums in den rhetorischen Schriften des Michael Psellos, des Eustathios und des Michael Choniates sowie in anderen rhetorischen Quellen des XII. Jahrhunderts*, Speyer a. Rh. 1936. See further: Kleine Pauly s. v. Gnome (2).

[11] e. g. 72,90 μετὰ νέφος ὁ ἥλιος.

[12] e. g. 56,2–4 = Zon. III 159,1–3; 68,37 = Zon. III 221,4–5 etc.

It should be borne in mind, however, that the aim of the author is to give pithy characterizations of the rulers under discussion, rather than to sketch historical events. To this extent the procedure is quite comparable with that of Psellos in his *Chronographia*.

De ratione edendi

1) The *apparatus criticus* comprises all the differences between the text edited and the manuscript, with the exception of marks of punctuation, accents, itacisms etc., and the miniated capitals. See the list of itacisms etc., p. XXI/XXII. Emendations have been made when necessary for the understanding of the text, or in case of an obvious correction suggested by the context or a source. In a number of cases emendations have been proposed in the *app. crit.* or in the commentary.

2) The *apparatus fontium* has in general been reserved only for cases of textual resemblance. Because it is in fact unclear in which time the text came about, it did not seem practical to make a dividing-line between references taken from 'sources' before and after Psellos. In order to give an approximate indication of close or less close or loose connection with the source, I have introduced some signs indicating a graduation in connection: = literally the same, ≂ nearly the same, ≈ rather close, ∼ clearly comparable, and cf. comparable/related. Such indications bear soon the marks of subjectivity, but may be of some help to make clear some relationships. The sign > will refer to sources from which the one (probably) used by the author seem to derive.

3) The commentary comprises a scala of information. Not only further information about possible relationships of sources has found room there, but also remarks of linguistic character, reflexions on historical events, on possible backgrounds, or on imaginable emendations etc.

4) The translation is not a word-for-word one. I have tried to observe as well as possible the intentions of the author, but I have not shrunk from combining or disentangling notions and (parts of) phrases when I believed in that way to be able to ease modern understanding.

5) The indication ἱστορία at the top of each *recto* page, the (reader's?) remarks οὐκ ἀκριβὴς δέ at the top of 265 r., ὡραῖον in marg. 271 r. and the partly illegible gloss οὐκ οὗτος ὁ πατὴρ τῆς ἁγίας ... (?) in marg. 267 v. have been omitted.

SELECT BIBLIOGRAPHY AND ABBREVIATIONS

Aerts, W. J.	Periphrastica — An investigation into the use of εἶναι and ἔχειν as auxiliaries or pseudo-auxiliaries in Greek from Homer up to the present day. Amsterdam 1965.
ANRW	see Temporini, H.
Bauer, W.	Griechisch-deutsches Wörterbuch zu den Schriften des Neuen Testaments und der übrigen urchristlichen Literatur. Berlin [5]1957.
Böhlig *Unters.*	= Gertrud Böhlig, Untersuchungen zum rhetorischen Sprachgebrauch der Byzantiner, mit besonderer Berücksichtigung der Schriften des Michael Psellos. Berlin (Akademie-Verlag) 1956.
Bréhier, L.	Le monde byzantin (1. Vie et mort de Byzance, 2. Les institutions de l'empire byzantin, 3. La civilisation byzantine). Paris 1947 ff.
Browning, R.	Medieval and Modern Greek. London [1]1969, [2]1983.
Bslav	= Byzantinoslavica. Revue Internationale des Etudes Byzantines. Prague 1929 ff.
Bury LRE	= J. B. Bury, A History of the Later Roman Empire I, II. London 1889 (repr. Amsterdam 1966).
B. Z.	= Byzantinische Zeitschrift. Leipzig—München 1892 ff.
Cary M. — Scullard H. H.	A History of Rome. London [3]1975.
Debrunner, A.	Griechische Wortbildungslehre. Heidelberg 1917.
Denniston, J. D.	The Greek Particles. Oxford [2]1954.
Dimitrakos, D. B.	Δημητράκου Μέγα Λεξικὸν ὅλης τῆς ἑλληνικῆς γλώσσης. Athens [2]1953.
Du Change, C.	Glossarium ad scriptores mediae et infimae graecitatis. Lugduni 1688 (repr. Paris 1943).
Fessler, Jos.	Institutiones Patrologiae, quas denuo recensuit, auxit, edidit Bern. Jungmann, I, IIa, IIb. Oeniponte 1890—1892.
Grumel, V.	La Chronologie (Traité d'Etudes Byzantines I). Paris 1958.
Helgeland, John	Roman Army Religion, in ANRW XVI 2, 1470 ff.
Honigman, E.	Die Ostgrenze des byzantinischen Reiches von 363 bis 1071. Brussels 1935.
Hunger HPLB	= H. Hunger, Die hochsprachliche profane Literatur der Byzantiner. Handbuch der Altertumswissenschaft XII, 5 I, II. München 1978.
Jannaris, A. N.	An historical Greek Grammar. London 1897.
Kienast, D.	Nerva und das Kaisertum Trajans, in Historica 17 (1968) 51—71.
Kl. PW	= Der kleine Pauly. Lexicon der Antike auf der Grundlage von Pauly's Realencyclopädie etc. herausgeg. von Konrat Ziegler und Walther Sontheimer. Stuttgart 1964 ff.
Kriaras, E.	Λεξικὸ τῆς μεσαιωνικῆς ἑλληνικῆς δημώδους γραμματείας 1100—1669. Thessalonika 1968 ff. (in progress, available 1—10).

Kühner — Gerth *Gr. Gramm.*	= Ausführliche Grammatik der griechischen Sprache von Raphael Kühner. II Satzlehre, 3. Auflage von B. Gerth. Hannover 1898, 1904.
Lampe, G. W. H.	A Patristic Greek Lexicon. Oxford 1961—68.
LSJ	= A Greek-English Lexicon compiled by H. G. Liddell — R. Scott — H. Stuart Jones etc. Oxford 1940.
Marsh, F. B.	The Reign of Tiberius. Oxford—Cambridge 1931.
Moravcsik Gyula	Einführung in die Byzantinologie. Darmstadt 1976.
Ostrogorsky (—Hussey)	= G. Ostrogorsky, History of the Byzantine State, translation by J. Hussey. Oxford 1968.
	id. Geschichte des byzantinischen Staates. Handbuch der Altertumswissenschaft XII 1,2. München ^{3}1963.
Psaltes, S.	Grammatik der byzantinischen Chroniken. Göttingen 1913.
Renauld *Et.*	= E. Renauld, Etude de la langue et du style de Michel Psellos. Thèse doct. Paris 1920.
Renauld *Lex.*	= *id.* Lexique choisi de Psellos. Thèse complém. Paris 1920.
Rufus Fears, J.	Jupiter and Roman Imperial Ideology, in ANRW XVII 1, 80 ff.
Schwyzer, E.	Griechische Grammatik auf der Grundlage von Karl Brugmans Griechischer Grammatik. Handbuch der Altertumswissenschaft II 1, 1—4. München 1939—71.
Sewter	= E. R. A. Sewter, Michael Psellos. Fourteen Byzantine Rulers (translation of the Chronographia) Penguin Books ^{2}1966.
	id. translation of Anna Komnena, Alexiade. Penguin Books 1969.
Sophocles E. A.	Greek Lexicon of the Roman and Byzantine Periods. Cambridge Mass./Leipzig 1887 (repr. 1957).
Stratos A. N.	Byzantium in the VIIth Century I — IV. Amsterdam 1968—78.
Temporini, H. ANRW	= Hildegard Temporini and Wolfgang Haase edd., Aufstieg und Niedergang der römischen Welt. Berlin 1972 ff.
Tusculum Lexikon	griechischer und lateinischer Autoren des Altertums und des Mittelalters, comp. W. Buchwald, A. Hohlweg, O. Prinz. München ^{3}1982.
Veitch, W.	Greek Verbs, irregular and defective. Oxford 1887.
VV	= Vizantijskij Vremennik. Bd. 1—25 St. Petersburg (Leningrad) 1894—1927. N. S. 1 (26) — ff. Moscow 1947 ff.
ZRVI	Zbornik Radova Vizantoloskog Instituta, Belgrad 1952 ff.

ABBREVIATIONES CETERAE

abs.	=	absolute
acc.	=	accusativus
acc. rel.	=	accusativus relationis
a.c.i.	=	accusativus cum infinitivo
ad loc.	=	ad locum
aor.	=	aoristus
app. loc.	=	apparatus locorum (citatorum)
c.	=	cum
c(c).	=	caput, capita
cap.	=	caput
capp.	=	capita
cf.	=	confer
cod.	=	codex
codd.	=	codices
comm(ent.)	=	commentarius, commentary
compar.	=	comparando
coni.	=	coniecit
cp.	=	compara, compare
crit.	=	criticus
dat.	=	dativus
ed.	=	edidit, editio
edit.	=	editor(es)
e.g.	=	exempli gratia, for instance
Erläut.	=	Erläuterungen
esp.	=	especially
etc.	=	et cetera
f.	=	and following; folium
ff.	=	and following
frg.	=	fragmentum
gen.	=	genitivus
ibid.	=	ibidem
id.	=	idem
i.e.	=	id est
impf.	=	imperfectum
inf.	=	infinitivus
in marg.	=	in margine
introd.	=	introduction
κτλ.	=	καὶ τὰ λοιπά, etcetera
l.	=	linea, line
ll.	=	lineae, lines
l.c.	=	loco citato
ll.cc.	=	locis citatis
leg.	=	legendum

med.	=	medium
ms.	=	manuscript
mss.	=	manuscripts
nom.	=	nominativus
o.c.	=	opere citato
om.	=	omittit (-unt)
p.	=	page
partit.	=	partitivus
perf.	=	perfectum
plqpf.	=	plusquamperfectum
post corr.	=	post coorectionem
. . .^{r}	=	recto
resp.	=	respectively
sq.	=	(et) sequens
sqq.	=	(et) sequentia
s.v.	=	sub voce
. . .^{v}	=	verso
v.	=	verse
viz.	=	videlicet, namely
vs.	=	versus

ΜΙΧΑΗΛ ΨΕΛΛΟΥ
ΙΣΤΟΡΙΑ ΣΥΝΤΟΜΟΣ

265r Ἱστορία σύντομος τῶν παρὰ τῇ πρεσβυτέρᾳ Ῥώμῃ βασιλευσάντων καὶ αὖθις τῇ νεωτέρᾳ, τοὺς μηδὲν ἀξιόλογον πράξαντας τῶν βασιλέων ὑπερβαίνουσα, τὴν μέντοι ἀρχὴν ἀπὸ Ῥωμύλου ποιησαμένη. Συγγραφεὺς δὲ τῆς ἱστορίας ὁ ἐρικυδέστατος ὑπέρτιμος ὁ

Ψελλός

1 Ῥωμύλος μυθολογεῖται παρὰ Ῥωμαίοις Ἄρεος τοῦ παρ' Ἕλλησι θεοῦ γενέσθαι υἱός, μητέρα δὲ αὐτοῦ ἐπιγράφουσι πάντες οἱ συγγραφεῖς Ἰουλίαν ὄνομα, θυγατέρα δὲ Νεμέτορος τοῦ βασιλεύσαντος Ἀλβανῶν. Οὗτος ὁ Ῥωμύλος πόλιν οἰκοδομήσας Ῥώμην ἀπὸ τῆς οἰκείας προσηγορίας ὠνόμασεν. Ἡ δὲ Ῥωμαίων πόλις ἵδρυται ἐν τοῖς ἑσπερίοις μέρεσι τῆς Ἰταλίας περὶ ποταμὸν Τίβεριν, ὃς κατὰ μέσην ἐκδίδωσι τὴν ἀκτήν, ἀπέχουσα τῆς Τυρρηνικῆς ρκ' σταδίους. οἱ δὲ κατασχόντες αὐτὴν πρῶτον βάρβαροί τινες ἦσαν αὐτόχθονες, λεγόμενοι Σικελοί. Ῥωμύλος δὲ ὁ βασιλεύς, ἐπειδὴ τὴν πόλιν ἐξῳκοδόμησε, νόμους τε ἐν αὐτῇ ἔθετο καὶ τῶν πέριξ ἐθνῶν οὐκ ὀλίγα ὑπηγάγετο· φιλοκίνδυνος γὰρ γενέσθαι ἱστόρηται καὶ δεινότατος τὰ πολέμια. Τελευτᾷ δὲ ὑπὸ τῶν οἰκείων πολιτῶν ἀναιρεθεὶς οὐδεμίαν ἐξ αὐτοῦ γενεὰν καταλιπών, ἑπτὰ καὶ τριάκοντα βασιλεύσας ἔτη.

2 Μετὰ δὲ τὴν τοῦ Ῥωμύλου τελευτὴν προχειρίζεται εἰς τὴν βασιλείαν Ῥωμαίων κοινῇ παρὰ πάντων τῶν πολιτῶν Νόμας Πομπιλίου υἱός, ἀνὴρ καὶ τὸ εἶδος ἀξιοθέατος καὶ τὴν ψυχὴν ἀρεταῖς ἁπάσαις κατηρτυμένος, ἐραστὴς δὲ σοφίας ἁπάσης. Τούτῳ δὴ τῷ ἀνδρὶ καὶ μία τῶν ἐννέα Μουσῶν προσεφοίτα πολλάκις δημοσίᾳ προκαθημένῳ καὶ τὴν βασιλικὴν ἐπιστήμην ἐδίδασκεν. Ὁ βασιλεὺς οὗτος ἐν εἰρήνῃ τὴν βασιλείαν διήγαγεν, οὔτε προφάσεις πολέμων τοῖς ὁμοροῦσιν ἔθνεσι δοὺς οὔτε παρ' ἐκείνων λαβών. Τελευτᾷ δὲ τὸν βίον ὁσίως βεβιωκὼς οὔτ' ἐπιβουλευθεὶς παρὰ τῶν πολιτῶν οὔτε νόσῳ δαπανηθείς, ἀλλ' ὑπὸ γήρως κατὰ βραχὺ μαρανθείς.

3 Τρίτος ἀπὸ Ῥωμύλου βασιλεύει τῆς Ῥώμης Τύλλος Ὁστύλιος. Οὗτος δημοτικώτατος ἄνθρωπος κατ' ἀρχὰς γεγονὼς εἰς φιλίαν ἑαυτῷ τοὺς πολίτας ἅπαντας ἐποιήσατο, ἀνδρειότατος δὲ καὶ τὴν πολεμικὴν ἐπιστήμην παρὰ πάντων τῶν συγγραφέων μεμαρτύρηται. Ὅθεν Ἀλβανούς τε παρεστήσατο, ἔθνος ἀρχαῖον καὶ πολυάνθρωπον, καὶ Φειδηναίων ἐκράτησε καὶ Φουφέτιον τὸν βασιλέα τῶν Ἀλβανῶν ἐπιβουλὰς αὐτῷ ὑπορύττοντα κατασχὼν ἀνεῖλε τυραννικώτατα. Ἔτη δὲ κατασχὼν τὴν ἀρχὴν δύο καὶ τριάκοντα τελευτᾷ τὸν βίον καταπρησθείσης αὐτῷ τῆς

---

4 ἐρικωδέστατος **28** ρίτος

---

9 cf. D. H. I 9,4 (5) **10** ἡ δὲ … **13** Σικελοί: ≈ D. H. II 1,1 (1–6) **13–16** ~ D. H. II 7,1 (13–17) **16** cf. D. H. II 56,3 (4–5) … πρὸς τῶν ἰδίων πολιτῶν λέγουσιν αὐτὸν

Short history of those who were rulers of ancient Rome and afterwards of New Rome, leaving aside the emperors who brought about nothing remarkable, and taking its start from Romulus. Author of this history is the very most famous, honourable

Psellos

1 Roman mythology tells that Romulus was the son of Ares, as he is called by the Greeks. His mother's name, as mentioned by all authors, was Julia, and she was the daughter of the king of the Albans, Numitor. This man Romulus built a town and named it Rome after his own appellation. The town of the Romans is situated in the western part of Italy near the river Tiber, that disembogues at the middle of the coast, at a distance of 120 stades from the Tyrrhenian. The first settlers of the town were barbarian autochthones, named Siculi. But king Romulus after having built up the city framed laws for it and subdued a considerable number of the tribes around. It is recorded that he was a very adventurous man and most clever in warfare.
He died, murdered by his own citizens, leaving no offspring whatsoever, after a thirty-seven years' reign.

2 After the death of Romulus, Numa, the son of Pompilius is appointed to the kingship of the Romans by general consent of all the citizens, a man not only well worth seeing for his physical appearance but also equipped with all sorts of mental virtues, and a lover of all wisdom. This man, when presiding at a public meeting, was often accompanied by one of the nine Muses, instructing him how to be a (good) king. This ruler fulfilled his reign in peace. He gave the neighbouring tribes no pretext for war nor used it against them. He died at the end of a pious life, being neither a victim of plotting of the citizens nor consumed by disease, but gradually wasted by old age.

3 The third king of Rome after Romulus was Tullus Hostilius. This man was in the beginning very popular, indeed, and made all citizens his friends, but he was also very courageous, and testimony is given by all authors of his skill in warfare. Hence he brought under his authority the Albans, an ancient, populous tribe, he subdued the Fidenians, and he very tyrannously killed the king of the Albans, Fufetius, having arrested him because of his subversive activities and his plotting against him. He reigned thirty-two years and lost his life because his house burnt down; and with

---

ἀποθανεῖν **17** ἑπτὰ καὶ τριάκοντα ... ἔτη: cf. D. H. I 75,1 (23–24) **19–20** cf. D. H. II 58,3 (23 sqq.) **22–23** cf. D. H. II 60,5 (21–23) **24–25** cf. D. H. II 76,3 (7 sqq.) **27** ὑπὸ γήρως ... μαρανθεὶς: ~ D. H. II 76,5 (2–3) **34–37** ≂ D. H. III 35,1 (7–10)

οἰκίας καὶ σὺν αὐτῷ γυνή τε ἀπόλλυται καὶ τέκνα καὶ ὁ οἰκετικὸς ὄχλος καταληφθεὶς ὑπὸ τοῦ πυρός.

4 Τέταρτος ἀπὸ Ῥωμύλου βασιλεύει τῆς Ῥώμης Μάρκος Ἄγκος ἐπίκλησιν υἱὸς θυγατρὸς Νόμα Πομπιλίου τοῦ μετὰ Ῥωμύλον εὐθὺς τὴν βασιλείαν Ῥωμαίων παραλαβόντος. Οὗτος ὁ ἀνὴρ ἐβούλετο μὲν κατὰ τὸν πάππον εἰρήνης μᾶλλον ἢ πολέμου γενέσθαι τοῖς πολίταις αἴτιος, ἀλλ' οὐκέτι μέχρι τέλους ὡς προὔθετο πεπολίτευται. Λατῖνοι γὰρ αὐτῷ ἐπαναστάντες ἠνάγκασαν πολεμεῖν, πρὸς δὲ τούτοις καὶ Φειδηναῖοι, οὓς δὴ σύμπαντας κατὰ κράτος νενίκηκεν. Ἐπὶ τέτταρα δὲ πρὸς τοῖς εἴκοσι τὴν βασιλείαν κατασχὼν ἔτη ἀποθνήσκει δύο καταλιπὼν υἱούς, τὸν μὲν ἔτι παῖδα τὴν ἡλικίαν, τὸν δὲ πρεσβύτερον ἤδη γεγονότα, καὶ τὰ πρὸς εἰρήνην καὶ τὰ πρὸς πόλεμον ἱκανώτατος καὶ ἁρμοδιώτατος γεγονώς.

5 Πέμπτος ἀπὸ Ῥωμύλου εἰς τὴν βασιλείαν Ῥωμαίων ἀνάγεται Λεύκιος Ταρκύνιος. Οὗτος τὸ Λατίνων ἔθνος λῃστείαις αὖθις καὶ προνομαῖς τὴν Ῥωμαίων γῆν πορθοῦν ἐκ παρατάξεως καὶ τειχομαχίας καρτερῶς παρεστήσατο, νικᾷ δὲ καὶ Κρουστουμερήνους, ἔθνος γενναῖον, καὶ Κολλατίνους. Οὐ μὴν δὲ ἀλλὰ καὶ Σαβίνων ἐκράτησε καὶ τὴν Ῥώμην παντοδαπαῖς ἀριστείαις ἐκόσμησε καὶ συνηύξησε. Τελευτᾷ δὲ τὸν βίον ἀναιρεθεὶς ὀκτὼ καὶ τριάκοντα ἔτη τὴν ἀρχὴν κατασχών, οὐ μικρῶν οὐδὲ ὀλίγων Ῥωμαίοις ἀγαθῶν αἴτιος γενόμενος, υἱοὺς δύο καταλιπὼν νηπίους καὶ θυγατέρας δύο ἀνδράσιν ἤδη συνοικούσας.

6 Ἕκτος ἀπὸ Ῥωμύλου τὴν ἀρχὴν λαμβάνει Στύλλιος, ὃς μιᾷ τῶν θυγατέρων Ταρκυνίου συνῴκει. Οὗτος ποικιλώτατος ἀνθρώπων ἐγένετο καὶ τὴν γνώμην ἐμμέθοδος καὶ πᾶν ὁτιοῦν ποιεῖν ὑπὲρ αὐτοῦ πρὸς τοὺς καιροὺς δεξιώτατος. Ὑπεκρίνετο δὲ πολλάκις ἀφεῖναι τὴν βασιλείαν, οὐ τοῦτο βουλόμενος, ἀλλὰ τῆς τῶν πολιτῶν γνώμης πειρώμενος κἀντεῦθεν κραταιοτέραν ἑαυτῷ τὴν ἀρχὴν ἐποιεῖτο. Εἰς ἔσχατον δὲ γῆρας ἀφικόμενος, ἐπιβουλευθεὶς ὑπὸ Ταρκυνίου τε τοῦ γαμβροῦ καὶ τῆς ἑαυτοῦ θυγατρὸς ἀποθνήσκει. Δύο γὰρ αὐτῷ θυγατέρες ἐγεγόνεισαν ἐκ γυναικὸς Ταρκυνίας, ἃς δὴ ἐπὶ γάμους γενομένας ἐκδίδωσι τοῖς ἀδελφοῖς τῆς μητρὸς αὐτῶν, ὧν ἡ πρεσβυτάτη ἀνοσιωτάτη πασῶν γυναικῶν ἐγένετο.

7 Ἕβδομος ἀπὸ Ῥωμύλου παρανόμως ἐπὶ τὴν βασιλείαν Ῥωμαίων ἄνεισι Λεύκιος Ταρκύνιος, ὁ τοῦ προτέρου ὁμώνυμος. Εὐθὺς γοῦν εἰς τὴν τυραννίδα μεθιστᾷ τὴν ἀρχὴν καὶ φρουρὰν μὲν ἑαυτῷ κατεσκεύασε δεδιὼς

---

39 Ῥομύλου **41** πόλεμον **42** τέλος : correxi compar. 6,74 et 85 **49** τῶν : correxi compar. D.H. III 49.2 **51** Κολατίνους **57** Ῥωμύλλου **60** ὑποκρίνετο **63** Ταρκενίου **64** θυγατέρες : θυγατέρων

38–40 cf. D. H. III 36,1 **40–42** cf. D. H. III 37,1 **43** πρὸς … Φειδηναῖοι: cf. D. H.

him perished his wife, his children and the mass of his servants, seized by the fire.

4 The fourth to be king of Rome after Romulus was Marcus, surnamed Ancus. He was a son of the daughter of Numa Pompilius, who took over the kingship of the Romans immediately after Romulus. This man wished, in the spirit of his grandfather, to be for his citizens the author of peace rather than of war, but he did not manage to the very end to do it as he intended. For the Latins rose up against him and forced him to fight, and with these also the Fidenians. But he vanquished them all forcibly. He reigned twenty-four years and died leaving two sons, one of them no more than a child, the other already more grown up. In matters both of peace and of war he had shown himself to be very skilful and always equal to the situation.

5 The fifth after Romulus to be brought to the kingship of the Romans was Lucius Tarquinius. In pitched battles and by sieges he violently subdued the tribe of the Latins, who were again devasting the land of the Romans with robbery and looting, and vanquished both the Crustumerini, a brave tribe, and the Colatini. Moreover he overpowered the Sabines and he embellished and increased Rome with all manner of excellences. Murder ended his life after a thirty-eight years' reign, during which he procured for the Romans many important goods. He left behind two immature sons and two daughters who were already married.

6 As sixth after Romulus, Stullius [sic; S. Tullius] assumes the throne; he had married one of the daughters of Tarquinius. He was the most shrewd of all men, being systematic of mind and very good at exploiting everything whatever in all circumstances for his own benefit. More than once he pretended to give up his power. This was not really his intention, but he wished to try out the disposition of the citizens with no other purpose than to increase his control of the government. In his very old age he died attacked by his son-in-law Tarquinius and his own daughter. By his wife Tarquinia he had two daughters, whom he married off to the brothers of their mother as soon as they reached a marriageable age. The elder of them was the most wicked of all women.

7 The seventh after Romulus, Lucius Tarquinius, a namesake of the earlier Tarquinius, illegally obtained the kingship of the Romans. He transformed his rule immediately into a dictatorship, and being afraid of

---

III 39,3 **44–47** ≈ D. H. III 45,3 (12–15) **48** cf. D. H. III 49,1 **49–50** λῃστείαις … πορθοῦν: ≋ D. H. III 49,2 **53–56** ≂ D. H. IV 1,1 (1–5), sed sequentia sententiae partium mutata. **63–64** ἐπιβουλευθεὶς … ἀποθνήσκει = D. H. IV 27,7 **64–66** cf. D. H. IV 28,1 et sqq. **67** παρανόμως: cf. D. H. IV 41,4 οὐ κατὰ νόμους **68–70** ~ D. H. IV 41,2–3 (16–24)

τὰς ἐπιβουλάς, τὰς δὲ ἐξόδους σπανίους καὶ ἀπροσδοκήτους ἐποιεῖτο· διέφθειρε δὲ καὶ πολλοὺς τῶν πολιτῶν ἐγκλήματα αὐτοῖς ἐπαγαγὼν ἄδικα. Ἐλαύνεται γοῦν τῆς βασιλείας ὑπὸ Ῥωμαίων καὶ ἀειφυγίᾳ καταδικάζεται τοῦ θαυμασιωτάτου Βρούτου τὸ πᾶν ἐπ᾽ αὐτὴν κατασκευάσαντος. Ἡ τοίνυν τῶν Ῥωμαίων ἀρχὴ ἀπὸ Ῥωμύλου μέχρι τοῦ δευτέρου 265v Ταρκυνίου τὴν ἔννομον ἑαυτῇ βασιλείαν διαφυλάξασα μετὰ τὴν | ἐκείνου φυγὴν εἰς ὑπατικὰς ἀρχὰς μεταπίπτει.

8 Ἡ βασιλικὴ Ῥωμαίων πολιτεία διαμείνασα μετὰ τὸν οἰκισμὸν τῆς Ῥώμης ἐτῶν τεσσάρων καὶ τεσσαράκοντα καὶ διακοσίων ἀριθμόν, ἐπὶ δὲ τοῦ τελευταίου βασιλέως Ταρκυνίου τυραννὶς γενομένη, ὑπὸ γενναιοτάτων κατελύθη ἀνδρῶν καὶ παυσαμένης αὐτῇ τῆς μοναρχίας ἤτοι βασιλείας εἰς ἀριστοκρατίαν τὸ κράτος μετέπεσε, κἀντεῦθεν δύο ἄνδρες κρείττους τῶν ἄλλων ἀριστοκρατεῖν κατ᾽ ἐνιαυτοὺς ἐπετρέποντο καὶ ὕπατοι ἐξωνομάζοντο καὶ τούτοις τοῦ καθήκοντος ἐνιαυτοῦ εἰς τὴν ἐξουσίαν πληρωθέντος ἰδιῶται αὖθις καθίσταντο καὶ λόγους ἐδίδοσαν ὧν διῳκήκασι. Καὶ παρέμεινεν μέχρι Ἰουλίου Καίσαρος ἡ τοιαύτη διαδοχή. Ἀλλὰ νῦν πρῶτον περὶ τῶν ὑπάτων λεκτέον.

9 ⟨Βροῦτος καὶ Κολλατῖνος⟩.

Τούτων τῶν δυεῖν ὑπάτων τῷ μὲν Βρούτῳ δώδεκα κατέ⟨τ⟩αξαν οἱ πολῖται ἡγεῖσθαι πελέκεις, τῷ δὲ Κολλατίνῳ δώδεκα ὑπηρέτας ῥάβδους ἔχοντας μόνον. Οὗτοι δὲ τούς τε καταλυθέντας νόμους ὑπὸ Ταρκυνίου ἀνενεώσαντο καὶ τὰς θυσίας αὖθις προσέταξαν ἐπιτελεῖσθαι καὶ Ταρκυνίου ἀειφυγίαν κατεδιῄτησαν. Καὶ πολεμεῖν δὲ ἦσαν πρὸς Οὐϊεντανούς, οἳ τὸν Ταρκύνιον κατῆγον, ἵνα Ῥωμαίων αὖθις βασιλεύοι. Συνέμιξαν ἄμφω Βροῦτος καὶ Ἄρρος, ὁ τοῦ Ταρκυνίου παῖς, καὶ συνέβη τούτους ὑπ᾽ ἀλλήλων ἀποκτανθῆναι. Οὕτω μὲν οὖν Βροῦτος ἐτετελευτήκει καὶ Κολλατῖνος πρότερον τῆς ὑπατείας πέπαυται. Καὶ αὖθις ἡ βουλὴ δευτέρων ὑπάτων ἐφρόντισεν.

10 ⟨Οὐαλέριος καὶ Λουκρήτιος⟩.

Τούτων τῶν δυεῖν ὑπάτων ὁ μὲν Λουκρήτιος οὐ πολλὰς ἡμέρας τὴν ἀρχὴν κατασχὼν ἀποθνήσκει, ὁ δὲ δῆμος εἰς τὸν ἐκείνου τόπον καθίστησι Μάρκον Ὁράτιον, ὃς καὶ νόμους φιλανθρώπους ἔθετο καὶ τοὺς πελέκεις ἔξω μὲν τοῦ ἄστεος πορευομένοις τοῖς ὑπάτοις μεθῆκεν, ἔνδον δὲ τοῦ τείχους ἀφείλετο καὶ ῥάβδοις κοσμεῖσθαι μόναις προσέταξεν. Ἐντεῦθεν Ποπλικόλας παρὰ τοῦ δήμου τῶν Ῥωμαίων ἐπωνομάσθη. Τοῦτο δὲ τὸ ἐπωνύμιον κατὰ τὴν ἑλληνικὴν διάλεκτον δύναται ἢ καὶ βούλεται δηλοῦν

83 τούτους **85** παρέμειναν **87** Nomina consulum supplevi et hic et in capp. sqq. **88** κατέαξαν : sed cf. D.H. V 2,1 κατατάξαντες **92** Οὐιετανούς *vide comm.* **95** Κολατῖνος **4** Λουκρίτιος. . Traditio D.H. habet -η-, C. Dionis -ι-, cf. Zon. II 41,6 Λουκριτία, Λουκριτίου

plots he provided himself with a bodyguard and went out only seldom and at unexpected moments. He also disposed of many citizens by means of unjust charges against them. No wonder he was driven out of the kingship by the Romans and condemned to exile for life. The preparation of the whole campaign was in the hands of the very admirable Brutus. Thus the government of the Romans maintained the character of a legal monarchy until the second Tarquinius. After his banishment a government of consuls was instituted.

8 Monarchy among the Romans lasted two hundred forty years after the foundation of Rome. But under the last king Tarquinius it became a dictatorship, which was only put down by very brave men. Monarchy or kingship having been put to an end, aristocracy came in its place. Thenceforth the aristocratic rule was trusted each year to two men who surpassed the others. These were called consuls and upon termination of their proper year in power they became again private citizens and accounted for what they had done during their term. This system of succession lasted until Julius Caesar. But now first a word about the consuls.

9 ⟨Brutus and Collatinus⟩.
The citizens had ordered that of these two consuls Brutus should be preceded by twelve bearers of axes, but Collatinus by twelve assistants bearing only staves. These consuls restored the laws abolished by Tarquinius and commanded that the immolations should be re-established; they condemned Tarquinius to lifelong exile. They started a campaign against the Veientanes, who were trying to re-instate Tarquinius as king of the Romans. It came to a fight between Brutus and Arruns, the son of Tarquinius, which ended in their killing each other. In this manner Brutus' life ended; Collatinus had already earlier resigned his consulship. As before, the Senate provided for the second pair of consuls.

10 ⟨Valerius and Lucretius⟩.
Of these two consuls Lucretius died a few days after his accession to office, and the people nominated Marcus Horatius in his place. This man instituted humane laws: he maintained for the consuls on campaign out of town the right of axes, but abolished this right in town, ordering their equipment only with staves. Hence his surname given by the people of Rome: Publicola. In Greek this surname signifies, by way of illustration

72–74 cf. D. H. IV 70,4 (12–19) **77–80** ἀνδρῶν ≅ D. H. V 1,1 (1–5) **88–90** ≈ D. H. V 2,1 (10–13) **90–91** ἐπιτελεῖσθαι ~ D. H. V 2,2 (19–24) **4–8** ≈ D. H. V 19,2–4 (1–14), cf. etiam Plut. *Publ.* cap. 10,5 **8–11** ≈ D. H. V 19,5 (24–26), cf. etiam Plut. *Publ.* 10,6

ʽδημοκηδῆʼ ἤτοι ʽδήμου φροντιστήνʼ. Καὶ τὰ μὲν ἐκείνῳ τῷ ἐνιαυτῷ συντελεσθέντα ὑπὸ τῶν ὑπάτων τοιάδε ἦν, τὰ δὲ ἐφεξῆς ῥητέον καθʼ ἕκαστα.

11 ⟨Οὐαλέριος (τὸ δεύτερον) καὶ Τῖτος Λουκρήτιος⟩.

Ἐπὶ τῆς ὑπατείας τούτων δὴ τῶν ἀνδρῶν ἄλλο μὲν οὐδὲν ἄξιον λόγου ἐπράχθη, τιμήσεις δὲ ἐγένοντο βίων καὶ τάξεις τῶν εἰς τοὺς πολέμους εἰσφορῶν, ὡς Στύλλιος βασιλεὺς ἐνομοθέτησε, πάντα τὸν ἐπὶ τῆς Ταρκυνίου δυναστείας χρόνον ἀφειμέναι, τότε δὲ πρῶτον ὑπὸ τούτων ἀνανεωθεῖσαι· ἐξ ὧν εὑρέθησαν τῶν ἐν ἥβῃ Ῥωμαίων ἄνδρες περὶ τρισκαίδεκα μυριάδες. Τοῦτο δὲ ἀντὶ πολλῶν ἤρκεσε πράξεων. Εἰρηνικόν τε τὸν ἐνιαυτὸν ἐκεῖνον συντετελέκασι καὶ τὰ πλήθη τῶν στρατευμάτων Ῥωμαίοις συνηυξήκασι καὶ ⟨ἡ⟩ ἀριστοκρατικὴ ὑπατεία κρείττων τῆς βασιλείας Ῥωμαίοις ἀποδέδεικτο καὶ μέχρι πολλοῦ τὰ κατʼ αὐτοὺς ἤνθησε τῆς τῶν δυεῖν ὑπάτων ὁμονοίας ἀποχρησάσης αὐτοῖς.

12 ⟨Οὐαλέριος (τὸ τρίτον) καὶ Μάρκος Ὁράτιος (Πόλβιλλος τὸ δεύτερον)⟩.

Ἐπὶ τούτων τῶν ὑπάτων βασιλεὺς Καλουσηνῶν τῶν ἐν Τυρρηνίᾳ Λάρος ὄνομα Πορσίην ἐπίκλησιν καταφυγόντος ἐπʼ αὐτὸν Ταρκυνίου τοῦ τυραννήσαντος στρατιὰν ἐπὶ Ῥωμαίους ἐξάγει καταναγκάζων Ταρκύνιον ἐν τῇ πόλει δέξασθαι. Καὶ ἐπὶ τὴν πόλιν ἤλασεν ὡς δίχα πόνων ταύτην παραστησόμενος. Καὶ πολέμου κροτηθέντος ἀμφοῖν τοῖν μεροῖν ἐμπειρίᾳ μὲν καὶ καρτερίᾳ κρείττους ἐφάνησαν οἱ Ῥωμαῖοι τῶν μετὰ Πορσίνου στρατευσάντων, οὗτοι δὲ πλήθει ἐκείνους ὑπερεβάλλοντο. Τοῦ δὲ πολέμου παυθέντος εἰς διαλλαγὰς ἀλλήλοις συνεληλύθεσαν καὶ οὔτε Ταρκύνιος τῆς εἰς Ῥώμην καθόδου τετύχηκε καὶ Πορσῖνος ἐπὶ τὸ οἰκεῖον ἐπανέζευξεν ἔθνος.

13 ⟨Μάρκος Οὐαλέριος καὶ Πόπλιος Ποστούμιος⟩.

Ἐπὶ τούτων τῶν ὑπάτων Σαβίνων τινὲς καταγνόντες ἀσθένειαν τῆς πόλεως στράτευμα ἐπὶ Ῥωμαίους ἐγείρουσιν. Ἀλλὰ πρῶτα μὲν ἐξ ἐφόδου ἅτερος τῶν ὑπάτων ἐπὶ τοὺς ληιζομένους τὰ χωρία αἰφνιδίως ἐπιπεσὼν φόνον ποιεῖται τῶν καταληφθέντων ἐν ταῖς προνομαῖς συχνῶν ὄντων πολύν. Ἔπειτα ἄμφω οἱ ὕπατοι συνεξαγαγόντες τὰς δυνάμεις ἐπὶ τοὺς πολεμίους ἐκ παρατάξεως νενικήκασι καὶ πολλὰς ὠφελείας λαβόντες, ἃς τοῖς στρατιώταις ἄγειν καὶ φέρειν ἐπέτρεψαν, ἀπῆγον ἐπʼ οἴκου τὰς δυνάμεις. Ἡ δὲ πόλις τότε πρῶτον ἀναθαρρήσασα ψηφίζεται κοινῇ ἀμφοτέροις τοῖς ὑπάτοις θριάμβου καταγωγήν.

---

22 ἡ addidi **28** Πορσίην : sic; legendum Πορσῖνος ? Cf. 8,35 sed D.H. Πορσίνας. **29** στρατιὰν : στρᾶ Ῥωμαίοις, sed cf. 8,39 et 10,50 **31** παραστησάμενος : emendavi ex D.H. V 22,3 **32** Ποσίνου : cf. l. 7 πλήθη **44** οἱ στρατιῶται : emendavi compar. D.H. V 39,3

11–12 ≂ D. H. V 19,5 (26–2): καὶ τὰ μὲν ἐν ἐκείνῳ τῷ ἐνιαυτῷ ... τοιάδε ἦν· **15** ἄλλο – **20** μυριάδες: ≂ D. H. V 20 (5–11)

of his character: "who cares for the people", or, "the people's support". These were the achievements of the consuls in that year; what follows must be discussed all and each severally.

11 ⟨Valerius (second time) and Titus Lucretius⟩.
During the consulate of these men nothing worth mentioning happened, but the term was marked by the introduction of the census of goods and of the classes of property taxes for the wars. These taxes had already been laid down by king Stullius, but they were totally neglected at the time of the Tarquinius' domination. Now they were for the first time reintroduced by these consuls. From the tax registrations it appeared that there were about one hundred thirty thousand Roman men of military age. This development sufficed in place of many other deeds. Not only did they maintain the peace in that year, but they also increased the numbers of the Roman forces. Thus the aristocratic consuls' rule proved itself to the Romans to be stronger than the monarchy, and during a long period their state enjoyed prosperity as long as there was a sufficient unanimity between the two consuls.

12 ⟨Valerius (third time) and Marcus Horatius (Pulvillus, second time)⟩.
At the time of these consuls, Laros with surname Porsinna, the king of the Caluseni, who live in the Tyrrhenian area, led his army against the Romans: the ex-tyrant Tarquinius had come to him as a refugee, and he tried to force them to accept Tarquinius again in the city. He marched against the city, convinced that he would bring it to terms without trouble. Battle was started, and of the two parties it seemed that the Romans brought in more experience and force than the soldiers of Porsinna; on the other hand the latter surpassed them in number. After the battle they came to terms with each other, with the result that Tarquinius failed to obtain his return to Rome. Porsinna, however, was permitted to go back to his own people.

13 ⟨Marcus Valerius and Publius Postumius⟩.
At the time of these consuls some Sabines became aware of the weakness of the city, and they raised an army against the Romans. But immediately after the attack one of the consuls surprised the enemies who were plundering the fields and inflicted a great slaughter among the many who were caught ravaging. Later the two consuls concentrated their forces and vanquished the enemy in straight combat. The rich booty was left to the soldiers to take away, and then they led their forces back home. Then, for the first time, the town felt courage enough to take the common decision to permit a triumphal procession of the consuls.

27–29 ~ D. H. V 21,1 (18–20) **30–31** ≋ D. H. V 22,3 ἐπὶ δὲ τὴν πόλιν ἐλαύνων ὡς καὶ ταύτην δίχα πόνου παραστησόμενος, **31–33** ~ D. H. V 23,2 … … ἐμπειρίᾳ μὲν καὶ καρτερίᾳ κρείττους ὄντες οἱ Ρωμαῖοι τῶν ἐναντίων, πλήθει δὲ … **38–39** Σαβίνων … πόλεως: ≂ D. H. V 37,2 (20–21) **39–42** ~ D. H. V 37,3 (5–10) **43–45** … πολλὰς ὠφελείας κτλ.: ≂ D. H. V 39,3 (4–6) **45–46** ≋ D. H. V 39,4 (6–7, 10–11)

14 ⟨Πόπλιος Οὐαλέριος (τὸ τέταρτον) καὶ Τῖτος Λουκρήτιος (τὸ δεύτερον)⟩.

Ἐπὶ τοῦ ἐνιαυτοῦ τούτων δὴ τῶν ὑπάτων πάσας τὰς δυνάμεις οἱ Σαβῖνοι συνηθροικότες ἐξῆγον ἐπὶ τοὺς Ῥωμαίους καὶ συμβάλλοντες ἡττήθησαν. Καὶ αὖθις ἐπὶ τῶν μετ' αὐτοὺς ὑπάτων πλείονι χρησάμενοι στρατιᾷ μείζονος τῆς κακώσεως ἐπειράθησαν σφαλέντος βραχύ τι ἑνὸς τῶν ὑπάτων. Ἐπὶ δὲ τῆς ἑβδομηκοστῆς καὶ πρώτης Ὀλυμπιάδος Αὖλος Σεμπρώνιος καὶ Μάρκος Μινέκιος νεὼν καθιέρωσαν τῷ Κρόνῳ καὶ δημοτελεῖς καθ' ἕκαστον ἐνιαυτὸν ἑορτὰς καὶ θυσίας προσάγεσθαι τῷ δαίμονι τούτῳ ἐνομοθετήκασιν. Ἐπὶ δὲ Ποπλικίου Μινεκίου καὶ Γυγανίου Καμερίου σίτου σπάνις ἰσχυρὰ τὴν Ῥώμην κατέσχεν.

15 Τὰ μὲν οὖν ὅσα οἱ κατ' ἐνιαυτοὺς ὕπατοι καὶ μετὰ τούτους οἱ ἐπικληθέντες δήμαρχοι ἐφ' ἑκάστων τῶν χρόνων πεπράκασι, παρήσειν μοι δοκῶ περιγεγραμμένα τυγχάνοντα ἐπὶ ταῖς ἰδίαις ἐπιστασίαις καὶ οὐκ ἔχοντα συνέχειαν ἀρχικήν, ἑτέραν δὲ ὥσπερ ἱστορίαν σοι πραγματεύσομαι ἀπὸ Καίσαρος Ἰουλίου λαβὼν τὴν ἀρχήν, ἵν' ἔχοις τὰ μὲν μιμεῖσθαι τῶν βασιλέων, τὰ δὲ μωμεῖσθαί τε καὶ βδελύττεσθαι.

16 Οὗτος πρῶτος ὁ Καῖσαρ ὕπατος μετὰ Βιβούλου γενόμενος τῶν Ῥωμαίων τὴν ἀριστοκρατίαν εἰς μοναρχίαν μετέστησε καὶ τὴν ὑπατείαν εἰς βασιλείαν μετήλλαξε. Γενναιότατος δὲ γεγονὼς ἐν πολλοῖς καὶ μεγάλοις ἀγῶσι Γερμανοὺς και Γάλλους καὶ Βρετανοὺς χειρωσάμενος ὑποφόρους Ῥωμαίων πεποίηκε. Καῖσαρ δὲ ἐπωνόμασται, ὅτι θανούσης αὐτοῦ τῆς μητρός, ἐν ᾧ ἔμελλε τίκτεσθαι, ἐξ ἀνατομῆς ἐξηνέχθη εἰς φῶς. Τὸ γὰρ
266ʳ Καῖσαρ ὄνομα εἰς τὴν ἑλλάδα | γλῶσσαν μεθαρμοζόμενον ἀνατομὴ λέγεται. Ἐπιβεβούλευται δὲ παρὰ Βρούτου τοῦ μοιχιδίου υἱοῦ καὶ Κασσίου, ἀνδρῶν γεννάδων καὶ τῆς ἀριστοκρατίας ἀντεχομένων, καὶ τελευτᾷ τὸν βίον ἀναιρεθείς.

17 Ὀκτάβιος Αὔγουστος Καῖσαρ. Οὗτος ὁ βασιλεὺς Καῖσαρ μὲν προσηγορεύθη διὰ τὸν πρότερον Καίσαρα, Σεξ[σ]τίλιος δὲ ὀνομαζόμενος εἰς τὸν Αὔγουστον κατετέθη (τὸ δὲ αὔγουστος ἑλληνιστὶ σεβαστὸς λέγεται) φιλοτιμησαμένων αὐτῷ τῶν Ῥωμαίων διὰ τὰς ὑπερβολὰς τῶν κατορθωμάτων τὴν τοιαύτην προσηγορίαν. Ἦν δὲ ὁ ἀνὴρ τὰ μὲν ἄλλα οἷος οὐκ ἄλλος, θυμοειδὴς δὲ καὶ ταχέως κινούμενος πρὸς ὀργήν. Τῷ δὲ ͵εφ´ ἔτει ἀπὸ κτίσεως κόσμου ἐξῆλθε δόγμα παρ' αὐτοῦ ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην, ἐν ᾧ ἔτει καὶ ὁ Κύριος ἡμῶν ἐγεννήθη. Ἐν δὲ τῷ μέλλειν

---

52 σφαλέντα : emendavi compar. D.H. V 44,2, nisi forte legendum sit ⟨καὶ⟩ σφαλέντος **56** Καμερίου : καὶ Μερίου : emendavi compar. D.H. VII 1,1 codd. B: codd. A Καμερίνου : Μακερίνου coni. Sigonius. Agitur de T. Geganio Macerino. **64/65** τοῦ Ῥωμαίου. Possis τοῖς Ῥωμαίοις **71** μοιχιδίου : litterae -οιχι- macula obscuratae, lectio autem certa esse videtur **75** Σεξστίλιος : σ ut e diplologia ortum delevi

---

53–54 ~ D. H. VI 1,1 **54** νεὼν ... κτλ.: ~ D. H. VI 1,4 (16–20) **57** σίτου σπάνις ... κατέσχεν: = D. H. VII 1,1 (2–3) **67–68** cf. Eclogae Historion = Cramer, Anecd.

14 ⟨Publius Valerius (fourth time) and Titus Lucretius (second time)⟩. The year that these consuls were in office the Sabines brought together all their forces against the Romans, but confrontation led to their defeat. Under the consulate of the next year they tried again with a yet more numerous army, but suffered greater damage, though one of the consuls failed for a short time.
At the seventy-first Olympiade Aulus Sempronius and Marcus Minucius dedicated a temple to Cronos, and ordained by law that feasts and ceremonies should be held yearly at public cost in honour of this deity.
Under Publicius Minucius and Geganius Macerinus a serious shortage of food struck Rome.

15 As to the history of the consuls who were chosen yearly, and of the so-called tribunes after them, each in their separate years, I have decided to omit the rest, because it is determinated by that specific form of government and thus lacks the continuity of personal leadership; but I shall occupy myself for you with the further history and start from the rule of Caesar Julius, in order that you may either imitate the good deeds of the emperors, or criticise and despise the bad ones.

16 When this Caesar had become a consul of the Romans (together with Bibulus), he was the first to transform the aristocratic government into a monarchy and to convert the consulate into an empire. He was very brave in the many great wars against the Germans, the Gauls and the Britons, whom he vanquished one and all and made them pay tribute to the Romans. Caesar was his name because, since his mother died at the moment of delivery, he was brought to light by means of an operation (sectio caesarea). For the name Caesar being translated into the Greek language signifies 'operation'. He was waylaid by his bastard son Brutus and by Cassius, noble men and supporters of the aristocracy, and he ended his life being murdered.

17 Octavius Augustus Caesar. This emperor was called Caesar because of his predecessor Caesar. And his name Sextilius was replaced by Augustus — Augustus means in Greek 'sebastos' (i. e. 'venerable') — because the Romans honoured him with this appellation on account of his very outstanding achievements. In other respects he may have been incomparable, but he was hot-tempered and very apt to quickly get angry.
In the year 5500 after world's creation there went out a decree from him that all the world should be taxed, and in that year our Lord was born.

Par. II,275, 11–13 (further Ecl. Hist.) ≂ Cedr. I 300,6–8 **68–69** cf. Ecl. Hist. 275,5–7 = Cedr. I 299, 20–22 **79** cf. Ecl. Hist. 277,6 sqq. Τῷ δὲ ͵εφ ἔτει ἀπὸ κτίσεως κόσμου, καὶ τεσσαρακοστῷ δευτέρῳ ἔτει Αὐγούστου, ἐξῆλθε δόγμα παρ' αὐτοῦ ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην, ἐν ᾧ ἔτει καὶ ὁ Κύριος ἡμῶν ἐγεννήθη, Ἡρώδου βασιλεύοντος τῆς Ἰουδαίας, ὃν ὁ Καῖσαρ Αὔγουστος προεχειρίσατο.

αὐτὸν τελευτᾶν κεραυνὸς κατασκήψας εἰς τὴν τούτου εἰκόνα τὸ πρῶτον γράμμα τοῦ ὀνόματος αὐτοῦ ἐξηφάνισε. Τελευτᾷ δὲ βιοὺς *** ἔτη ἓξ πρὸς τοῖς πεντήκοντα.

18 Εἶτα Τιβέριος Καῖσαρ. Στάσιμος οὗτος ὁ ἀνήρ, βαρὺς δὲ καὶ ⟨ἀ⟩παραίτητος πρὸς ὀργήν, ἀμφίβολος δὲ τὴν θρησκείαν. Οὔτε γὰρ τὴν ἡμετέραν πίστιν ἐκράτυνε τοῦτο βουληθεὶς πρότερον οὔτε τῆς οἰκείας ἐξεπεπτώκει, ἀνεῖλε δὲ Πιλάτον μὴ κωλύσαντα τὸν τοῦ Κυρίου σταυρόν. Οὗτος βραδείας ἐποιεῖτο τὰς τῶν δυναστειῶν διαδοχὰς δυεῖν ἕνεκα τῆς τε πραγμάτων ἀδιακόπου οἰκονομίας καὶ προστασίας καὶ τοῦ κόρον λαβόντας ἐφάπαξ τοὺς δυναστεύοντας εὐχαλιναγώγους πρὸς τὴν πλεονεξίαν γίνεσθαι. Ἐπὶ τούτου τοῦ καίσαρος κατὰ τὸ πεντεκαιδέκατον ἔτος τῆς αὐτοῦ βασιλείας ὁ Κύριος ἡμῶν τὸ βάπτισμα δέχεται, ἐν δὲ τῷ ὀκτωκαιδεκάτῳ ἔτει τὸ σωτήριον πάθος ὑφίσταται ἐν ἔτει ,εφλγʹ. Ἐπὶ τούτου Ἰάκωβος ὁ ἀδελφὸς τοῦ Κυρίου πρῶτος Ἱεροσολύμων ἐπίσκοπος γίνεται καὶ Κανδάκης ὑπὸ Φιλίππου βαπτίζεται.

19 ⟨Γάϊος⟩. ⟨Ο⟩ὐκ ἀκρατὴς μόνον οὗτος τὰς πρὸς τὴν μῖξιν ὁρμάς, ἀλλὰ καὶ ἀσελγέστατος πάντων ἀνθρώπων καὶ μοιχικώτατος, ἐξ ἀλλοτρίων φρεάτων (τοῦτο δὴ τὸ Σολομώντειον) τὰς ἡδονὰς ἀρυόμενος. Ἐβασίλευσε μὲν οὖν ἔτη τρία καὶ μῆνας ἐννέα, κατέτριψε δὲ πᾶσαν αὐτοῦ τὴν ζωὴν ἐν ταῖς ἀκολάστοις ἐπιθυμίαις. Ἦν δὲ καὶ τὰς τιμωρίας παρανομώτατος καὶ πρὸς τὴν σύγκλητον ἰταμώτατος, πρὸς πᾶσαν ἀσέλγειαν ἀνεπισχέτως φερόμενος. Ἐπὶ τούτου Ἀγρίππας μὲν βασιλεύει τῆς Ἰουδαίας, Σίμων δὲ ὁ μάγος παρὰ Φιλίππου βαπτίζεται ἑνὸς τῶν ἑπτὰ διακόνων. Κλαύδιος δέ τις ἀνὴρ τῆς βδελυρίας αὐτὸν βδελυξάμενος ἐπιβουλεύσας ἀναιρεῖ. Οὗτος ὁ Γάϊος γενεὰν μὲν οὐδεμίαν ἑαυτοῦ κατέλιπε, δόξαν δὲ πολλὴν τῆς ἰδίας ἀνοσιότητος.

20 ⟨Κλαύδιος⟩. ⟨Ἐ⟩βασίλευσε δὲ Κλαύδιος ἔτη τρία πρὸς τοῖς πέντε μησίν. Ἀγεννὴς δὲ τὴν ψυχὴν ἐγνωρίζετο κἀντεῦθεν πάντας ὑπώπτευεν ἑαυτῷ. Οὐδεὶς οὖν αὐτῷ τῶν πάντων ἐγγύθεν προσῄει, εἰ μὴ πρότερον διηρευνήθη, μή που ξιφίδιον ὑπὸ τὸν κόλπον ἔχοι. Πᾶσά τε αὐτῷ ἡ δορυφορία καθώπλιστο οὐκ ἐν πομπαῖς μόνον, ἀλλὰ καὶ συμποσίοις καὶ δείπνοις. Ἐπὶ τῆς τούτου βασιλείας Ἀγρίππας καὶ Ἡρώδης ἀναιροῦσιν Ἰάκωβον ἀδελφὸν Ἰωάννου μαχαίρᾳ, καὶ Ἀγρίππας ἄνωθεν πληγεὶς

---

83 σύγραμμα , *vide comm.* **83** βιοὺς***ἔτη, *vide comm.* **86** παραίτητος **89** βραδεῖαν **89** δεῖν : correxit Holwerda **2** ⟨Γάϊος⟩. ⟨Ο⟩ὐκ : supplevi. Haec verba quod de Caligula agunt, demonstrat Ecl. Hist. 279,6 sqq. Γάϊος ἐβασίλευσεν ἔτη τρία καὶ μῆνας θʹ, ἦν δὲ μοιχικώτατος πάνυ κτλ. **3** ἀλλοτρίας **13** Κλαύδιος : titulum supplevi βασίλευσε τρία : legendum δεκατρία vel τρία καὶ δέκα, cf. Ecl. Hist. 279,15: ιγ̄ **14** ἀγενής πάντες **17** καθόπλιστο

86–87 sqq. *vide comm.* **88** cf. Ecl. Hist. 278,7–8 **92–93** ≈ Ecl. Hist. 278,15–17, cf. Cedr. I 344,16–18 ex Eus. *Hist. Eccl.* Vide et Chron. Pasch. II 88, Georg. Mon. 312 **94–1** cf. Ecl. Hist. 278,27 et 30/31: *vide comm.* **3** μοιχικώτατος cf. Ecl. Hist. 279,6, Cedr.

When time of his death was approaching, a thunderbolt struck his statue and destroyed the first letter of his name. He dies after ⟨a reign of⟩ fifty-six years.

18 Next, Tiberius Caesar. This was a steadfast man, but severe and inexorable in anger. He was undecided as to religion. For he did not support our beliefs, although he had wanted to, and he did not repudiate his own beliefs either: nevertheless he had Pilatus killed for not having prevented the crucifixion of the Lord.
He postponed successions in the offices for two reasons: first, in order to secure a continuous administration and to increase his control of affairs, and second, to bridle the governors effectively so as to control excesses, once they had satisfied their greed. In the fifteenth year of the empire of this Caesar, our Lord is baptised. And during the eighteenth year the Lord endures the salutary Passion, in the year 5533. Under his reign the brother of the Lord, James, was appointed first bishop of Jerusalem, and Candaces [sic] was baptised by Philip.

19 Gaius. Not only was he totally without control of his sexual passions, he was also the most licentious of all men and the most adulterous, drawing his pleasures from another man's pits – as is Solomon's saying. So he reigned three years and nine months and squandered his whole life in licentious desires. In the matter of punishments he most scandalously broke the law, and he was very offensive in his dealing with the senate. He was irresistibly compelled to every manner of wantonness.
During his reign Agrippa was king of Judaea, and Simon the magician was baptised by Philip, one of the seven deacons.
One man, however, Claudius, could not tolerate his disgusting behaviour any longer, and had him attacked and killed. Thus Gaius did not leave any offspring of his own, only great fame because of his licentiousness.

20 ⟨Claudius⟩. Claudius reigned three (thirteen) years and five months. He was notorious for his sordid soul and thus he harboured suspicion against everybody. No one – whoever it was – could approach him without first being searched to see whether he had a dagger under his cloth. His whole corps of bodyguards was fully armed not only at processions, but also at drinking-parties and meals. During his reign Agrippa and Herodes [sic] kill James, the brother of John, with a knife, but

---

I 346,3. Vide etiam Cass. Dionem 59,3,3 μοιχικώτατός τε ἀνδρῶν γεγενημένος ... cf. Xiph. 156,21–25 **4** cf. Proverbia 23,27 **5** Idem temporis indicat spatium Ecl. Hist. 279,6; Cedr. I 346,3 autem notat annos septem. **8–10** ἐπὶ τούτου ... διακόνων: ≂ Ecl. Hist. 279,11–13, cf. Cedr. I 346,8–10 **13** τρία: *vide comm.* **14–18** cf. Dio Cass. 60,3,3, Ecl. Hist. 279,15–19, Cedr. I 346,14–17, Const. Manass. 2011–2015, Anon. Sathae 28,18–21 **18** sqq. *vide comm.* **19–20** Ἀγρίππας ... ἀναιρεῖται: cf. Act. Apost. 12,23, Ecl. Hist. 279,32–280,2

ἀναιρεῖται, καὶ Μάρκος ὁ εὐαγγελιστὴς πρῶτος ἐπίσκοπος καὶ κῆρυξ Ἀλεξανδρέων καθίσταται καὶ Σίμων ὁ μάγος μάγοις προσομιλήσας καὶ τὴν τέχνην ἐκμελετήσας καὶ τερατευόμενος ὡς κρείττων δύναμις παρὰ τοῖς ἀνοήτοις ἐσέβετο. Ἐν δὲ τῷ δειπνεῖν πεφαρμαγμένον μύκητα φαγὼν τελευτᾷ.

21 Νέρων υἱὸς Κλαυδίου. Ἐξάγιστος οὗτος καὶ μιαρώτατος ἄνθρωπος, εἰπεῖν δὲ καὶ ἀνοητότατος καὶ οἷον οὔθ' ὁ πρὸ τοῦ ἤνεγκε βίος οὔθ' ὁ μετὰ ταῦτα ἐνέγκοι. Ἀνεῖλε μὲν γὰρ τὴν μητέρα καὶ τὴν μνηστήν, εὐνούχου δέ τινος ἐρασθεὶς ὥσπερ ἔννομον τὴν παρανομίαν ἐποίησε καὶ γάμον ἑαυτῷ συνεκρότησεν, ἀνεῖλέ τε τοὺς ἀποστόλους Πέτρον καὶ Παῦλον καὶ πρῶτος ὡς εἰπεῖν τοῦ διωγμοῦ ἤρξατο. Βασιλικῶν δὲ πραγμάτων κατολιγωρήσας πρὸς ᾠδὰς καὶ χειρονομίας ἐτράπετο, πάντων ἀνθρώπων ἀδεξιώτατος καὶ ἀμουσότατος γεγονώς. Οὔκουν ἠρυθρία ἐπὶ μέσου θεάτρου ἐξᾴδων καὶ ποδὶ τὸ μέλος ῥυθμίζων καὶ κατακλῶν τοὺς δακτύλους πρὸς τὰς τῶν ᾀσμάτων καμπάς. Ἐπὶ τούτου Οὐεσπασιανὸς μὲν στρατηγὸς Ῥωμαίων πορθεῖ τὰ Ἱεροσόλυμα καὶ Ἰάκωβος ὁ ἀδελφὸς τοῦ Κυρίου ὑπὸ Ἰουδαίων ἀναιρεῖται ἀπὸ τοῦ πτερυγίου ὡσάντων αὐτόν. Καὶ ὁ βδελυρὸς οὗτος Νέρων βιαίως τὴν ζωὴν ἀπορρήγνυσι.

22 Γάλβας δὲ (τῶν μὲν εὐπατριδῶν οὗτος καὶ τὴν δόξαν ἐπίσημος, οὐ πάνυ δὲ τὸ ἦθος στάσιμος οὐδὲ τὴν βασιλείαν γενναίως ἡνιοχῶν, ἀλλὰ πάντων πραγμάτων κατολιγωρῶν καὶ πάσης φυλακῆς ἀμελῶν καὶ διὰ τοῦτο πᾶσιν ἁλώσιμος [οὗτος]) οὗτος τίθεται ἑαυτῷ παῖδα Λούκιον ἄνδρα καὶ τούτῳ τὴν βασιλείαν ἐταμιεύετο. Ἀλλ' Ὄθων ὁ παραδυναστεύων αὐτῷ βασκαίνει τῷ πράγματι· ἑαυτῷ γὰρ τὴν ἀρχὴν ἐμνηστεύετο καὶ ἐπιθέμενος αὐτὸν ἀναιρεῖ καὶ τῆς βασιλείας ἐγκρατὴς γίνεται. Εὐήθης δὲ τὰ πολλὰ ὁ Γάλβας ὢν ἕτοιμος μὲν ἦν τὰς ἐπαγγελίας καὶ πρὸς πᾶσαν εὐχείρωτος αἴτησιν καὶ πρὸς μηδ' ὁτιοῦν ἀνανεύων, ἐπλήρου δὲ οὐδὲν τῶν ὑπεσχημένων. Ἔνθεν τοι καὶ μῖσος κατ' αὐτοῦ τοῖς Ῥωμαίοις ὑπέθρεψε καὶ ἐν ἴσῳ πᾶσιν ἐδόκει τὸ ὑπισχνεῖσθαι καὶ τὸ ἀπαρνεῖσθαι. Ἐβασίλευσε δὲ μῆνας θ' καὶ ἡμέρας ιγ'.

---

26 πρῶτος, *vide comm.* **31** πρὸς : περὶ **32** ἐρυθρία, sed fortasse leg. ἐρυθριᾷ, *vide comm.* **38** Γάλβος, sed cf. l. 45 εὖ πατρίδων **41** οὗτος[1] delevi, *vide comm.* **48** τὸ : τῶ *bis*

---

20 καὶ Μάρκος ... καθίσταται: cf. Ecl. Hist. 279,30—32 **21—23** Σίμων ὁ μάγος ... ἐσέβετο: cf. Ecl. Hist. 279,24—26 **23—24** cf. Ecl. Hist. 279,21 **§ 21** *vide comm.* **30** πρῶτος ... διωγμοῦ: cf. Zon. II 479,1 ex Eus. *Hist. Eccl.* II,25 **38** εὐπατριδῶν: cf. Zon. II 479,16—17 αὐτοκράτορα δὲ Γάλβαν τὸν Σερούϊον τὸν Σουλπίκιον προεχειρίσατο, γενόμενον ἐξ εὐπατριδῶν. In Xiphilini autem excerptione verba προεχειρίσατο-εὐπατριδῶν desiderantur. Vide etiam Ecl. Hist. 280, 31—32: Γάλβας ἐβασίλευσε μῆνας θ' ἡμέρας ιγ'· ἦν

Agrippa himself is also killed, struck from heaven, and Mark the evangelist is appointed bishop and herald of the Alexandrians. Simon the magician associated with magicians and learned their skill to perfection. He revealed miraculous things and was venerated by silly people as having supernatural power.
He (Claudius) ate a drugged mushroom at dinner and died.

21 Nero, Claudius' son. He was a most abominable and scandalous man, you may also say most stupid; creation had no more seen such a man until then than it hopes to see his like again. For he killed his mother and his wife, he fell in love with a eunuch and legalised as it were this transgression of law by organising his own wedding party, and he put to death not only the apostles Peter and Paul but was also in a manner of speaking the first to set up the persecution (of the Christians). He did not care much for imperial duties but concentrated on songs and dances, even though he surpassed everybody in his lack of technique and musicality. He therefore felt no shame to sing aloud in the centre of the theatre and to accompany the melody with rhythmic foot-stamping and to follow the turns of the songs by gesturing with his fingers.
During his reign the Roman general Vespasian besieges Jerusalem and James the brother of the Lord is killed by the Jews, who pushed him from the pinnacle of the temple.
This abominable Nero's life is violently put to an end.

22 Galba (ms. Galbos) was one of the patricians and of distinguished fame. On the other hand he had anything but a stable character, and he did not handle the reins of the empire in a brave manner. He did not care much about the affairs of state, fully neglected his personal safety and he was therefore an easy prey for everyone. He adopted the grown-up Lucius and held out to him the prospect of the empire. But his co-ruler is angry at this; he wished the reign for himself and thus attacks and kills Galba and takes possession of the empire.
Good-hearted as he was in many respects, Galba readily made promises, showed himself accessible to any demand, refused nothing whatever it was, but he fulfilled none of his promises. Hence he cultivated even hatred against himself, because everybody had the impression that promise had for him the same value as refusal.
He reigned nine months and thirteen days.

δὲ τῶν εὐπατριδῶν· εἶχε δὲ παραδυναστεύοντα τὸν Ὄθωνα, ... ≂ Cedr. I 379,10–11. **42** παραδυναστεύων: vide ad 38 **47–48** cf. Plut. *Galba* 22,1: οἱ στρατευόμενοι τὸν Γάλβαν ἐμίσουν οὐκ ἀποδιδόντα τὴν δωρεάν, ... (cf. etiam ibid. cap. 2)

23 Ὄθων. Γένους ἀσήμου ὁ βασιλεὺς οὗτος ἐγεγόνει, ἡ δὲ βασιλεία μέγαν ἐκήρυξε καὶ ἐπισημότατον. Φιλοθύτης δὲ ἦν εἴπερ τις ἄλλος καὶ πᾶσι θεοῖς ἑλληνίοις πανηγυρίζων. Ἀφροδίτῃ δὲ προσέκειτο μάλιστα καὶ τοῖς κατ᾽ αὐτὴν μυστηρίοις. Ἔνθεν τοι καὶ τελῶν τὰ Ἀφροδίσια αὐλόν 266v τε μετεχειρίζετο καὶ λύραν ἡρμόζετο καὶ τὰ μὲν | ἐμυεῖτο, τὰ δὲ αὐτὸς ἐμυσταγώγει τοῖς ἄλλοις. Ἐξῆρχε δὲ καὶ χορῶν καὶ θυμάτων καὶ ταῖς χερσὶν αὐτὸς ταῖς ἑαυτοῦ τὰ ἱερεῖα ἔθυε, πυράν τε ὑπανῆπτεν ἐπιβώμιον, φυσῶν τε καὶ ἀντιφυσώμενος, καὶ ἐπὶ τῆς ἑστίας ὠργίαζε. Βιτέλλιος γοῦν τις ἀνὴρ τῶν ἐν τέλει βδελυξάμενος τοῦτον πολλάκις τῆς μικροπρεπείας καὶ τῆς περὶ τὰ ἱερὰ μανίας καὶ ἀπληστίας θυμῷ δικαίῳ κινούμενος ἀναιρεῖ ζήσαντα ἐπὶ τῆς βασιλείας μῆνας τρεῖς καὶ ἡμέρας ὀκτώ. Αὐτὸς δὲ τὴν ἀρχὴν αὐτοῦ διεδέξατο.

24 Βιτέλλιος. Τῶν εὖ γεγονότων καὶ ὁ Βιτέλλιος καὶ ἄνωθεν ἀπὸ προγόνων ἐπισημότατος. Ἀνελὼν δὲ Ὄθωνα καὶ τὴν βασίλειον ἀρχὴν διαδεξάμενος, βαρβάροις μὲν πολεμίοις οὐκ ἀντηλλάξατο, ἀστρονόμοις δὲ καὶ ἀστρολόγοις οὕτω πικρῶς ἐπολέμησεν ὥστε βούλεσθαι καὶ τὴν ἐπιστήμην διαγράψασθαι τοῦ καταλόγου καὶ συνανελεῖν τῷ παντί. Τοὺς γοῦν περὶ τὰς τῶν ἀστέρων κινήσεις καὶ τὰς ἐνεργείας τούτων πραγματευομένους τῆς πόλεως ἐξελᾷ προστάξας μηκέτι παλινδρομῆσαι καὶ ἀπειλήσας ὡς αὐτίκα τεθνήξονται. Ἔνιοι δὲ τούτων καὶ ἐξελαυνόμενοι τὸν θάνατον αὐτῷ προηγόρευσαν καὶ ἡμέραν ῥητὴν τῆς ἐξαγωγῆς προειρήκασι, καθ᾽ ἣν καὶ ἐτετελευτήκει ἔτος ἓν καταμείνας ἐν τῇ ἀρχῇ καὶ δείξας, οἷς ἀνῄρει ἀστρονομίαν, βεβαίαν οὖσαν τὴν ἐπιστήμην· ἐπεπόνθει γὰρ ὅπερ αὐτὴ προῃρήκει καὶ ἐτεθνήκει καθ᾽ ἣν ἡμέραν προηγορεύκει.

25 Οὐεσπασιανός. Μέγας Οὐεσπασιανὸς ἐν βασιλεῦσιν ἐγεγόνει, ἀσήμων μὲν γονέων ἀποτεχθείς, ἐπισημότατος δὲ ἐν πολέμοις ἀναδειχθεὶς καὶ βεβοημένος ἐν κατορθώμασιν. Οὗτος κατὰ τῆς Ἰουδαίας καταστρατεύσας τῶν ταύτης πόλεων ἃς μὲν ἐκ παρατάξεως, ἃς δὲ ἐκ τειχομαχίας ἐκράτησε, καὶ Ἰώσηπον τὸν συγγραφέα ὑποχείριον ἐποιήσατο. Ἐν Παλαιστίνῃ δὲ ἔτι τὰς διατριβὰς ποιούμενον σύμπαν τὸ πλῆθος τῆς στρατιᾶς περιστάντες βασιλέα Ῥωμαίων ἀνηγορεύκασι καὶ δορυφοροῦντες ἐπὶ τὴν Ῥώμην ἀνήγαγον. Ἦν δὲ τὰ μὲν ἄλλα θαυμάσιος, φιλοχρήματος δέ. Ἔνθεν τοι καὶ τοὺς βασιλείους θησαυροὺς περιχειλεῖς χρυσίου πεποίηκε. Νοσήσας τε τελευτᾷ βασιλεύσας ἔτη ὀκτωκαίδεκα καὶ ἡμέρας ὀκτώ, εἰδὼς μέν, ὅτι αὐτίκα ἀποβιοῖ, πράττων δὲ ταῖς χερσὶ τὰ δημόσια.

---

58 μικροπ(ρ)ετείας (?) **65** ὥστε : ὡς μὴ *vide comm.* **67** περὶ τὰς : τὰς περὶ correxi **73** αὐτὴν **82** βασιλείους : βασὶ . Possis βασιλικούς

---

50 γένους ἀσήμου: cf. Ecl. Hist. 281,4—5 Ὄθων ἐβασίλευσε μῆνας τρεῖς, ἡμέρας η', ἦν δὲ γένους ἀσήμου, = Cedr. I 379,16—17. **75** ἀσήμων μὲν γονέων ἀποτεχθείς: cf. Ecl. Hist. 281,19—20 ἦν δὲ γονέων ἀσήμων. In Cedreno I 380,4 sqq., ubi eadem fere inveniuntur, haec verba desiderantur. **78** καὶ Ἰώσηπον τὸν συγγραφέα ὑποχείριον ἐποιήσατο: =

23 Otho. This emperor was not of noble descent, but imperial propaganda made him great and as of gentle birth. He was more fond of sacrifices than anybody else and he celebrated festivals for all the Greek (*or* pagan) gods. Aphrodite and her mysteries were his favourites. Hence, when performing the Aphrodisian rites, he played the *aulos* and turned the lyre, and so he was initiated himself, and introduced others into the mysteries as well. He led the procession of choruses and victims and he sacrificed the animals with his own hands, kindled the stake on the altar using the bellows, and performed the rites on the hearth. Thus he often shocked one of the powerful men, Vitellius, who was annoyed by his lack of nobility, his mania for religious performances and his greediness. Moved by a righteous rage he killed him after an imperial life of three months and eight days.
Vitellius himself took over the office.

24 Vitellius. Vitellius belonged among the well-to-do and could glory in many famous ancestors. Having killed Otho and taken over the imperial rule he did not occupy himself for a change with the barbarian enemies, but he made a bitter war upon astronomers and astrologers with the intention that this knowledge be erased from the list of professions and utterly destroyed. The professional observers of the movements of the stars and their energies he banished from the city under threat of immediate death penalty if they ever tried to come back. But some of them, even having been chased away, not only predicted his death but also foretold the date fixed for his departure from life. He died, indeed, at that date after a one year's stay in office, having produced evidence for those, whose science he tried to annihilate, of the real value of this astronomy. For he fared in the way astronomy had forecasted and he died at the predicted day.

25 Vespasian. Vespasian has become a great name among the emperors. True, he descended from insignificant parents, but he proved to be very significant in warfare and was famous because of his achievements. He made war upon Judaea and took its towns, some in pitched battles, others by storming the walls. He also brought the author Josephus into subjection.
Already during his stay in Palestine he was surrounded by the mass of his army, who cheered him as emperor of the Romans and gave him armed protection on his way to Rome. He was admirable in all things, but also fond of money. Thus he filled the emperor's treasuries to the brim with gold. Illness ended his life after a reign of eighteen years and eight days, and though well aware of his imminent death he continued to occupy himself with public affairs.

Ecl. Hist. 281,21–22 ὅστις καὶ Ἰώσηπον ... ἐποιήσατο, = Cedr. I 380,6–7

26 Τίτος υἱὸς Οὐεσπασιανοῦ. Καὶ ἀνὴρ ἀγαθὸς ὁ Τίτος καὶ βασιλεὺς δικαιότατος καὶ φιλανθρωπότατος καὶ τήν τε χεῖρα δραστήριος καὶ τὴν στρατηγικὴν ἐπιστήμην ἐπισημότατος, ἄφθονός τε τὴν γνώμην καὶ τὴν χεῖρα ῥεῦμα ποτάμιον. Ὁπότε γοῦν οὐκ ἔτυχεν εὐεργεσίαις χρησάμενος 'οὐκ ἐβασιλεύσαμεν' ἔλεγε 'τήμερον'. Οὐδένα δὲ τῶν πάντων τῶν εἰς ὄψιν ἐληλυθότων αὐτῷ ἐπιδεῆ χρημάτων ἐξέπεμπε. Ἵνα δὲ μὴ ταῖς ὑπερβαλλούσαις φιλανθρωπίαις κατολιγωροῖτο, ἀπειλαῖς μόνον, οὓς τιμωρεῖν οὐκ ἐβούλετο, κατεδείμαινεν. Ἀλλ' ὁ ἀδελφὸς αὐτῷ Δομετιανὸς βασκαίνει τῆς βασιλείας καὶ ἐπειδὴ πυρετοῖς ἑαλώκει σφόδρα τοῦτον ἐκτήκουσι τῇ θερμότητι, καταψύξας σφοδρῶς ἐξεπίτηδες καὶ πλείονα τῆς ὑποκειμένης τὴν ἀντίρροπον ποιήσας ποιότητα δεινῶς ἀναιρεῖ, δύο ἔτη πρὸς τρισὶ μησὶ τὴν βασίλειον ἀρχὴν κατασχόντα.

27 Δομετιανὸς ὁ ἀδελφὸς Τίτου. Ἀπὸ μὲν τῶν αὐτῶν σπαργάνων ἐγεγόνει τῷ Τίτῳ ὁ Δομετιανός, ἀντίρροπος δὲ αὐτῷ τοὺς τρόπους ἐγένετο, ἵνα συνελὼν εἴπω. Φονικώτατός τε γὰρ καὶ ἀσελγέστατος ἦν καὶ κατὰ τοῦτο τὸ μέρος Νέρωνι ὅμοιος. Βραχείας γοῦν ἐπειλημμένος προφάσεως ἐπῆγε τῷ συκοφαντηθέντι τὸν σίδηρον καὶ πολλοὺς τῶν ἐν τέλει ἀνεῖλεν ὑποπτεύσας αὐτοὺς ἐκ προρρήσεως ἀστρονομικῆς. Ἐπὶ τούτου ὁ Τυανεὺς Ἀπολλώνιος ἐγνωρίζετο, ἀνὴρ γόης καὶ πολὺς τὰ δαιμόνια πράγματα. Λάρκος δέ τις ἀστρονόμος προειρηκὼς Δομετιανῷ τὸν θάνατον καὶ ῥητὴν ἡμέραν ἀποφηνάμενος ἐν δεσμοῖς ἐγεγόνει, ὡς αὐτίκα ἀποθανεῖται, εἰ φανείη ψευδόμαντις. Ἀλλ' ἐτετελευτήκει κατὰ προθεσμίαν βασιλεύσας ἑκκαίδεκα ἔτη μηνὸς δέοντος.

28 Γέρβας. Γέρβας ὁ βασιλεύς, εἰ καὶ τοῖς Ῥωμαίων εἵπετο δόγμασι καὶ τὰ πολλὰ ἑλληνίζων ἦν, ἀλλὰ σώφρων καὶ ἐπιεικέστατος ἐγνωρίζετο. Ἀνακαλεῖται γοῦν αὐτίκα τὸν εὐαγγελιστὴν Ἰωάννην τῆς ἐν Πάτμῳ ὑπερορίας καὶ καθιστᾷ ἐν Ἐφέσῳ, ἔνθα καὶ τελευτᾷ. Καὶ τὸν διωγμὸν τοῖς Χριστιανοῖς ἔπαυσε. Προσέταξέ τε μὴ ἐκτέμνεσθαι ἄνδρα μηδὲ τῶν παιδογόνων στερεῖσθαι μορίων καὶ ἐκθηλύνεσθαι. Ἐπὶ τῆς τούτου βασιλείας πολὺς ἦν Τραϊανὸς ἐν κατορθώμασιν· ὅθεν, ἐπειδὴ γονῆς ἐστέρητο Γέρβας, υἱοθετεῖ τε τοῦτον καὶ ἀνελθὼν ἐν τῷ Καπιτωλίῳ (ἦν δὲ ἡμέρα τῶν ἐπιφανῶν καὶ ἀρίσημος καὶ ὁ δῆμος ἅπας ἐκεῖσε συνῆκτο ἐκ πανηγυρικῆς καταγγελίας) αὐτοκράτορα Ῥωμαίων ἀνακηρύττει Τραϊανόν, ὃν δὴ καὶ διάδοχον ἐποιήσατο ζήσας ἐν τῇ βασιλείᾳ ἔτος ἓν καὶ μῆνας τέσσαρας.

---

85 Τίτος[2] : Τῖτος **8** Τυανιεὺς : alibi Τυανεὺς cf. Ecl. Hist. 282,13, Zon. II 503,5, Cedr. I 431,3 **9** Λάρκος *vide comm.* **13** Γέρβας *vide comm.* **20** υἱοθετεῖ τοῦτον· καὶ : correxit Kambylis **21** ἀρήσιμος

7–8 cf. Anon. Sath. 30,15 Ἐπὶ τούτου Ἀπολλώνιος ὁ Τυανεὺς ὁ πολὺς τὰ μαγικὰ ἐγνωρίζετο. **14** σώφρων καὶ ἐπιεικέστατος: cf. Ecl. Hist. 283,4 σώφρων ὢν καὶ ἐπιεικής = Cedr. I 433,19; ἐπιεικής etiam in Manasses 2134 **15–16** ≈ Ecl. Hist. 283,5–6 ubi nomen Ioannis Evangelistae supplendum est, cf. Cedr. I 434,3, Georg. Mon. 447,3. Vide et

26 Titus, son of Vespasian. Titus, too, was an excellent man and a very righteous and humane emperor. He demonstrated great personal energy and a remarkable knowledge of strategy. His mind was free of jealousy, his hand a flowing river of generosity. Whenever he had not demonstrated his liberality, he used to say: "we have not been emperor today". Of all people who came to him for an audience, none was sent away in need of money. In order to avoid contempt as a consequence of his too generous humanity, he frightened away by mere threatening those whom he did not want to punish. His brother Domitian, however, begrudged him his power, and when Titus was seized by violent fevers that consumed him with heat, he cooled him down too strongly by supplying with malice a forethought more of the counterbalancing material than was prescribed, and killed him thus awfully after he had exercised imperial power during two years and three months.

27 Domitian, Titus' brother. The same swaddling-clothes covered Domitian as Titus, but he was the absolute opposite of his brother in character, to put it in a nutshell. For he was very murderous and brutal, and in this respect the equal of Nero. The slightest indication was enough for him to put even one falsely accused to the sword and he had many powerful people killed because of suspicions based on astrological prediction. During his reign lived Apollonius of Tyana, famous for his magic and his supernatural powers. Another astrologer, Larcus, predicted Domitian's death and revealed a fixed date. He was put in irons in order to be killed if his prophecy turned out to be false. But Domitian died as foretold; he reigned sixteen years less one month.

28 Gerva [sic! = Nerva]. Albeit the emperor Gerva was a strong adherent of the Roman religion and for the most part thoroughly pagan, he was all the same respected as a prudent and very reasonable man. Thus he immediately released John the evangelist from his exile on Patmos and permitted him residence in Ephesus, where he also died. He put a stop to the persecution of the Christians and decreed that no man should be either castrated, or deprived of his genitalia or emasculated. During his rule Trajan was very successful with his campaigns. Hence Gerva, having no offspring, adopted him. And he went up to the Capitol (it was one of the festival days, an important holiday, and the whole populace was gathered there, having been invited to the festival) and proclaimed Trajan emperor of the Romans. And he made him his successor after an emperor's life of one year and four months.

Mal. 268,12, Chron. Pasch. I 469,7 Eus. *Hist. Eccl.* III,21 et 23, II,15. Cf. etiam Joel 29,14 sqq. **16** ὑπερορίας: idem verbum habet Zon. II 505,19 **17–18** cf. Zon. II 506,20–21 < Dio Cass. 68,2,4, Xiph. 227. Vide et Ecl. Hist. 283,9; Cedr. I 434,2 **20** υἱοθετεῖ τε τοῦτον: cf. Ecl. Hist. 283,9 „... Τραϊανὸν υἱοποιοῦμαι" = Cedr. I 434,1

29 Τραϊανός. Κελτὸς μὲν καὶ βάρβαρος ὁ βασιλεὺς Τραϊανός, φιλολογώτατος δὲ εἴπερ τις ἄλλος τῶν βασιλέων καὶ Δίωνι τῷ Χρυσῷ τὴν γλῶτταν προσκείμενος, φίλοικτός τε καὶ μισοπόνηρος καὶ τὴν τῆς δικαιοσύνης στάθμην ἀκριβέστατος. Μέσος δὲ ἐγεγόνει τὰ ἐς φιλοτιμίαν Χριστιανοῖς· οὔτε γὰρ ἐδίωκεν οὔτε ἐξήλαυνε τούτους τῶν πόλεων, ἐμπεσόντας δὲ καὶ μὴ πειθομένους κολάζεσθαι διωρίσατο. Αὐτὸς γοῦν ἀνῃρήκει καὶ τὸν θεοφόρον Ἰγνάτιον καὶ Συμεῶνα τὸν τοῦ Κλεόπα. Ηὔξησε δὲ τὴν τῶν Ῥωμαίων βασιλείαν πολλοῖς ἀγῶσι καὶ κατορθώμασι. Βασιλεύσας δὲ ἐννεακαίδεκα ἔτη πρὸς μησὶν ἓξ κατὰ φύσιν ἀποβιοῖ, ἐν δὲ τῷ μέλλειν τελευτᾶν Ἀδριανὸν Αἴλιον βασιλέα προχειρίζεται.

30 Ἀδριανὸς Αἴλιος φιλολογώτατος εἴπερ τις ἄλλος τῶν βασιλέων. Ἤσκει γοῦν ἑκατέρους τῶν λόγων, τόν τε πεζὸν καὶ τὸν ἔμμετρον, καὶ συγγράμματα ἐς τὸν δῆμον ἐξενηνόχει ὅσα χάριτος καὶ ὅσα σεμνότητος. Πόλεις τε ἤγειρεν ἔν τε Μυσίᾳ, ἔνθα ἐθήρα, καὶ ἐν τῇ Θρᾴκῃ, καὶ ἐπωνύμους τῆς αὐτοῦ προσηγορίας ὠνόμασεν. Ἀλλὰ τὴν μὲν ψυχὴν ὑγιὴς καὶ ἄρτιος ἦν, ὅσα γε ἐς σωφροσύνην καὶ τὴν βασιλικὴν ἀρετήν, τὸ δὲ σῶμα διελελώβητο. Ἔνθεν τοι αἰδούμενος τὰς ἐν πόλει διατριβὰς ἐν ἀγρῷ τινι
267r ἑαυτὸν κατακρύπτει, ἔνθα δὴ ἑπτὰ ἔτη βεβιωκὼς | τελευτᾷ, Ἀντωνῖνον τὸν εὐσεβῆ ἐπονομαζόμενον βασιλέα προχειρισάμενος. Ἤλγει δὲ τελευτῶν τοσοῦτον ὡς ἀνακαλεῖσθαι πολλάκις τὸν θάνατον.

31 Ἀντωνῖνος ὁ εὐσεβής. Πᾶσαν ἀρετὴν βασιλεῖ πρέπουσαν ὁ βασιλεὺς Ἀντωνῖνος ἐκτήσατο. Σώφρων γὰρ ἦν ἐς τὰ μάλιστα καὶ τὴν δικαιοσύνην ἑαυτοῦ ὅλην πεποίηται, γενναιότατός τε καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν καὶ διὰ πάσης ἐληλυθὼς φρονήσεως· καὶ οὐδὲν ὅ τι μέρος ἢ μόριον τῆς γενικῆς ἀρετῆς ἑαυτὸν διελάνθανεν, ἀλλὰ καὶ τῇ φύσει καὶ ταῖς ἐπιμελείαις πάντας τοὺς πρὸ αὐτοῦ βασιλεῖς ὑπερεβάλλετο. Ἔνθεν τοι καὶ εὐσεβὴς κατ' ἐξαίρετον ἐπωνόμαστο. Μάρκον δὲ τὸν σοφώτατον ἐν Ῥώμῃ τηνικαῦτα κατὰ πᾶσαν ἰδέαν καλοῦ διαλάμποντα υἱὸν ὁμοῦ καὶ βασιλέα ποιεῖται καὶ διάδοχον τῆς ἀρχῆς καθιστᾷ, βιοὺς ἔτη τέσσαρα πρὸς τοῖς εἴκοσιν.

32 Μάρκος Ἀντωνῖνος. Κρᾶμα πασῶν ἀρετῶν Μάρκος ὁ βασιλεὺς καὶ οἷος οὐκ ἄλλος, οὔτε τῶν πρὸ αὐτοῦ βασιλέων οὔτε τῶν ὕστερον ἐπι-

---

29 ἐδίωκας ut e ligatura videtur, sed nonnisi errorem scribae simplicem esse pro ἐδίωκεν manifestum est (compendium c pro compendio <, cf. f. 267r, l. 4) **30** διορίσατο (cf. Renauld, *Et* 48) **31** τῶ Κλεώπα , cf. Ecl. Hist. 283, 25, Cedr. I 437,12 **36** λόγον **50** ὑπερεβάλετο εὐσεβὴς ms. post corr. **53** βιούς sic ms.; vide et 12,83; 24,22–23, sed possis βιοὺς ⟨ἐπὶ τῆς ἀρχῆς⟩ compar. 24,12 **55** Πρᾶμα , Π minio scripto et anteposito

---

27 μισοπόνηρος: cf. Ecl. Hist. 283,12 ὃς ἦν μισοπόνηρος καὶ φιλοδίκαιος = Cedr. I 436,18, vide et Georg. Mon. 450,7, Joel 29,21 **29** ἐμπεσόντας: cf. Ecl. Hist. 283,25–26 Τραϊανὸς προσέταξε τὸ Χριστιανῶν φῦλον μὴ ἐκζητεῖσθαι μέν, ἐμπεσὼν (leg. -ὸν) δὲ κολάζεσθαι, ≂

29 Trajan. The emperor Trajan was a Celt and a barbarian, but highly interested, more than any of the other emperors, in literature and fond of Dio with his golden tongue (i. e. Dio Chrystomos). He was compassionate, he hated evil, he administered justice according to the most strict rules. He took a moderate position towards the Christians. On the one hand he did not persecute them nor drive them out of the cities; on the other hand, if disobedient when brought to trial, they had to be punished according to his decisions. In any case it was he who had the devout Ignatius and Symeon, son of Cleophas, executed. He expanded the territory of the Roman empire by means of many successful battles.
He died a natural death after ruling for nineteen years and six months. Near to death he appointed Hadrianus Aelius emperor.

30 Hadrianus Aelius was one of the most literate men among the emperors. He practised both literary forms, prose and poetry, and published writings which breathe both grace and earnest. He founded cities in Mysia, where he used to hunt, and in Thracia, and gave them his name. As to his mind, he was sound and to the point in all things that concerned moderate and virtuous rule; as to his body, he was handicapped. Hence he disliked life in the city and hid himself somewhere in the country. He lived there seven years and died, having appointed Antoninus, surnamed 'pious', as his successor. In dying he suffered such pains that he often called for death.

31 Antoninus Pius. The emperor Antoninus possessed every virtue befitting an emperor. He was self-controlled to the highest degree and made justice his second nature; he was very noble of both body and soul and succeeded to all levels of wisdom. No part, no particle of universal moral virtue escaped his attention, on the contrary, he surpassed all the emperors before him both in talent and achievement. Therefore he was given a special surname: 'pious'. He appointed as his son and co-emperor the very learned Marcus, who at that time in Rome excelled in every aspect of virtue, and made him his successor in office. His life as a ruler lasted twenty-four years.

32 Marcus Antoninus. The emperor Marcus was such a mixture of virtues as was met neither among the emperors before him nor after him. He was a

---

Cedr. I 437,6–7 < Eus. *Hist. Eccl.* III 33,2/3 πρὸς ἃ τὸν Τραϊανὸν δόγμα τοιοῦτον τεθεικέναι, τὸ χριστιανῶν φῦλον μὴ ἐκζητεῖσθαι μέν, ἐμπεσὸν δὲ κολάζεσθαι (cf. Niceph. Kall. Xanth. III cap. XVII), cf. Plin. Sec. Epist. CIII Trajanus Plinio: conquirendi non sunt: si deferantur et arguantur, puniendi sunt. Vide et Zon. II 514,5–7, qui eandem habet notitiam non e Dione sed ex Eusebio extractam. **36** cf. Ecl. Hist. 283,31 sqq.: ἦν δὲ φιλόλογος, ἐπιτήδειος ἔν τε τῷ πεζῷ λόγῳ καὶ τῷ ἐμμέτρῳ ≂ Cedr. I 437,15, *vide* et *comm.* **38** cf. Ecl. Hist. 284,2 sqq. ≂ Cedr. I 437,16 sqq. Vide et Dio Cass. 69,10,2, Zon. II 517,9. **43** ἐπονομαζόμενον, *vide comm.* **43–44** *vide comm.* **45–54** *vide comm.*

γενομένων. Ἦν μὲν γὰρ καὶ σοφίας πλήρης, γενναῖος δὲ καὶ τὴν ψυχὴν καὶ εἰρηνικώτατος μὲν εἴπερ τις ἄλλος, πολεμικώτατος δέ, εἴπερ τούτου δεήσειεν. Ἀμέλει τοι Γερμανοὺς καὶ Σαυρομάτας καὶ γένη ἕτερα πολέμοις μακροῖς ὑπηγάγετο καὶ ὑποφόρους τῇ Ῥώμῃ πεποίηκε. Καὶ τὰ πρὸς τὸν θεὸν δὴ ὅσιος ὢν ὅσον εἰκὸς Ἕλληνι, ὄμβρον τε δι' εὐχῆς ἐξ οὐρανοῦ κατήνεγκε διψῶσι τοῖς στρατιώταις, τοὺς δὲ πολεμίους κεραυνοῖς ἐξαπιναίως ἀπώσατο. Ἐραστὸς δὲ καὶ τοῖς ἰδίοις πολίταις φανεὶς εἰκόνι χρυσῇ παρ' αὐτῶν μετὰ θάνατον τετίμηται. Ἐβασίλευσε δὲ ἔτη ἐννεακαίδεκα.

33 Κόμοδος Μάρκου υἱός. Κόμοδος ὁ βασιλεὺς Μάρκου μὲν υἱὸς τοῦ σοφοῦ καὶ τήν τε ὄψιν καλὸς καὶ τὴν τρίχα εἰκασμένος χρυσῷ, τοὺς δὲ τρόπους ἐναντιώτατος τῷ πατρί. Ἀκόλαστός τε γὰρ ἦν καὶ ἀλόγιστος, ὁρμητίας τε καὶ [ἀκόλαστος ἤτοι] ἀκρόχολος καὶ λόγου μὲν παντάπασιν ἀμελῶν, ἀνδράσι δὲ κακοηθεστάτοις προσομιλῶν. Ἐθήρα δὲ μανικώτατα καὶ ἐτόξευεν εὐστοχώτατα, ἐθηριομάχει τε γενναιότατα καὶ πολλοὺς ἄλλους τῶν πολιτῶν πρὸς τοῦτο ἠνάγκαζεν. Ἐπὶ μετεώρου δὲ τοῦ θεάτρου καθήμενος ἐγεγήθει τοῖς ὁρωμένοις καὶ τοῖς ἀνοσίως χεομένοις ἐγάννυτο αἵμασιν. Ἅπαν δὲ σχεδὸν τὸ γένος κατηναλώκει καὶ τοῖς ἔτι περιοῦσιν ὕποπτος ἐγεγόνει. Νάρκισος δέ τις τῶν δορυφόρων ἀναιρεῖ φαρμάκῳ ἔτη βασιλεύσαντα δυοκαίδεκα.

34 Περτίναξ. Μετὰ τὸν Κομόδου θάνατον ὁ πρεσβύτης Περτίναξ ἀξιοῦται τῆς βασιλείας, ἀνὴρ καὶ τὴν τρίχα λευκὸς καὶ τὴν σύνεσιν πολιός, ἀπ' ἐναντίας δὲ τῶν Κομόδου γενόμενος πράξεων. Τὸ πλῆθος τῶν παρ' ἐκείνῳ συνειλεγμένων, οὓς δὴ πρὸς τὰς δημοσίας εἶχε σφαγάς, ἠλάττωκε, φρουράν τε ἐξ ἐκείνων ἀρκοῦσαν πεποίηται ἑαυτῷ καὶ τούτοις τὸν ἀποχρῶντα ἐδίδου μισθόν. Οἱ δὲ ἐμεμήνεσαν καὶ παραψιθυρίσαντες ἀλλήλοις τὴν τοῦ βασιλέως ἐπιβουλὴν αὐτίκα, ᾗ θυμοῦ εἶχον, ξιφήρεις ὥρμησαν εἰς αὐτὸν καὶ συνεισπεσόντες ἀνεῖλον, οὐδ' ὅλους μῆνας τρεῖς ἐπὶ τῆς βασιλείας ἀρκέσαντα καὶ οὔπω οὔτε τὴν γυναῖκα οὔτε τὸν παῖδα ἐπὶ τὰς βασιλείους εἰσαγαγόντα αὐλάς. Ἐπὶ δὲ τῆς τούτου ἀρχῆς Ἀφρικανὸς ὁ συγγραφεὺς ἐγνωρίζετο.

35 Ἰουλιανὸς ὁ Δίδιος. Μετηλλαχότος τὴν ζωὴν τοῦ Περτίνακος ἐπιτολμᾷ τῇ βασιλείᾳ ὁ Δίδιος Ἰουλιανὸς πολυχρήματος καὶ φιλοχρήματος ἄνθρωπος καὶ δύο ταῦτα νοσῶν ἀπληστίαν καὶ φειδωλίαν. Ὅθεν διὰ μὲν τὴν πολυχρηματίαν ἐπιτυχὴς γίνεται τῆς ἀρχῆς, διὰ δὲ τὴν φιλοχρηματίαν ἐκπίπτει ταύτης ταχύ. Οὐδὲν γὰρ ὧν ἐπηγγείλατο δέδωκε τοῖς

61 δὴ : δὲ **68** ἀκόλαστος ἤτοι (ἦτοι ms.) delendum videtur. **69** ἐν θήρα δὲ μανικώ^τ^ **76** nomen Περτίναξ eadem manu adscriptum est in marg. **78** ἀπεναντίας **79** ἐκεῖνο **88** φιλοχρώματος **90** πολυχρηματίαν : φιλοχρηματίαν

60—63 *vide comm.* **63** εἰκόνι χρυσῇ: cf. Ecl. Hist. 285,8 χρυσῷ ἀνδριάντι = Cedr. I

vessel of wisdom, but also noble-hearted and peace-loving as no other; if required, however, he was a formidable warrior too. At any rate he subdued the Germans, the Sauromates and other tribes in lasting wars and made them tributary to Rome. His relation to God was of a devout nature considering his paganism: he once prayed the rain out of heaven for his thirsty soldiers and he kept off the enemies with sudden lightnings. How beloved he was among his own citizens became clear from the golden statue with which they honoured him after his death. He reigned nineteen years.

33 Commodus, son of Marcus. The emperor Commodus was, it is true, a son of the wise Marcus and a good-looking fellow with hair that resembled gold, but he was in character the very opposite of his father. He was wanton and foolish, impetuous and irascible, avoiding literature absolutely but associating eagerly with the most wicked people. He was a maniacal hunter and a very precise shooter. He often joined in contests with wild beasts — and did so bravely — but he also forced many other citizens to do the same. And sitting on his high seat in the theatre he enjoyed the performances and was delighted at the occasions of unholy bloodshed. He almost destroyed his whole family and held those who survived in suspicion. A certain Narcissus, one of the guard, killed him with poison after a twelve years' reign.

34 Pertinax. After the death of Commodus the senator Pertinax was deemed worthy to be emperor, a man with white hair and mature insight, and in his deeds opposite to Commodus. He reduced the number of men brought together by Commodus with a view to the public executions, and transformed them into a guard which met his needs and paid them a sufficient wage. They were, however, furious with the emperor and in their anger they immediately whispered up conspiracy against him. They rushed upon him, sword in hand, and killed him in collective action. He had not yet served full three months in office and had not even installed his wife and son in the imperial palace. During his reign lived the famous author Africanus.

35 Julianus Didius. After Pertinax had quitted this life, Didius Julianus ventured upon the empire. He was extremely rich and extremely greedy, and suffered from these two diseases: insatiability and parsimony. Thus wealth made him win the throne, greed made him step down soon. For he gave nothing of what he had promised to those who helped him attain his goal,

---

441,1–2. Vide et Dio Cass. 71,34,1 = Xiph. 267,11 **66** τὴν τρίχα εἰκασμένος χρυσῷ: cf. Ecl. Hist. 285,16–17 οὗτος εἶχε τρίχας ξανθὰς εἰκασμένας χρυσῷ = Cedr. I 441,3–4. *Vide* et *comm.* **67–73** *vide comm.* **76–81** *vide comm.* **84** cf. Ecl. Hist. 285,23–24 = Cedr. I 441,15–16 De regni Pertinacis spatio falsa communicat Sync. 669,5. Vide et Anon. Sath. 32,24–26, Man. 2253–54. **85** *vide comm.* **87–1** *vide comm.*

συναραμένοις αὐτῷ τοῦ σκοποῦ, ἀλλ᾿ ὥσπερ κατακολπίσας τοὺς θησαυροὺς οὐδενὸς χρήματος τοῖς στρατιώταις αὐτοῦ ἐκοινώνησεν. Ὅθεν ἀθρόον ἐπ᾿ αὐτὸν ὡρμηκότες οἱ τῶν ἐλπίδων διαψευσθέντες ἐλεεινότατα κατασφάττουσι ζήσαντα ἐπὶ τῆς ἀρχῆς, μᾶλλον δὲ οὕτως εἰπεῖν 'δυστυχήσαντα', ἡμέρας ἑξήκοντα πρὸς τοῖς ἕξ.

36 Σεβῆρος. Βασιλεύει μετὰ τὸν Ἰουλιανοῦ θάνατον ἀνὴρ στρατηγικώτατος Σεβῆρος ὄνομα. Οὗτος τὸ Βυζάντιον πολιορκήσας εἷλε τειχομαχῶν. Ἐτετείχιστο δὲ ἀρρήκτοις τείχεσιν ἑπτὰ πύργοις διερειδόμενον ἐκ τῶν Θρᾳκικῶν πυλῶν ἀρχομένοις καὶ ἐπὶ τὴν ἀρκτῴαν καθήκουσι θάλασσαν. Εἰ δέ τις τῷ πρώτῳ πύργῳ ἠρέμα παρεψιθύρισεν ἢ τῷ δακτύλῳ ἐπέπληξεν, αὐτός τε ἤχει καὶ ὁ ἦχος τοῖς ἐφεξῆς ἐκ διαδοχῆς διεδίδοτο. Οὗτος ὁ βασιλεὺς καὶ τὸ Ζεύξιππον λοετρὸν τοῖς Βυζαντίοις ἐξῳκοδόμησε καὶ τῷ ἐκεῖσε θεάτρῳ τὰς πρώτας βάσεις ὑπέθετο. Ἐπὶ δὲ τῆς τούτου ἀρχῆς Ὠριγένης τε ὁ Λεωνίδου τῆς ἰδίας αἱρέσεως ἤρξατο καὶ Παῦλος ὁ Σαμοσατεὺς καὶ Ἀρτέμων τῆς ἰδίας κακοδοξίας τοὺς σπινθῆρας ὑπέφλεγον. Ζήσας δὲ Σεβῆρος ἐπὶ τῆς ἀρχῆς ἔτη ἑπτακαίδεκα τελευτᾷ.

37 Ἀντωνῖνος. Ἀντωνῖνος ὁ βασιλεὺς υἱὸς μὲν Σεβήρου ἱστόρηται, ἀπεχθὴς δὲ ἄνθρωπος καὶ μισάδελφος. Ἀναιρεῖ γοῦν τὸν ἀδελφὸν Γέταν εἰπεῖν τι κρυφίως προσκαλεσάμενος. Εἶτα δὴ ἔξεισιν ἠπειγμένως ὡς μόλις ἐκεῖνον διεκφυγὼν ἀνελεῖν τὸ πρῶτον ἐπιχειρήσαντα. Ἀλλὰ Σαραπίων, ἀνὴρ δεινὸς ἀπὸ τῶν ἀστέρων τὸ μέλλον μαντεύσασθαι, προὔλεγε πᾶσιν, ὡς ὑπὸ Μακρίνου Ἀντωνῖνος τεθνήξεται. Ἦν δὲ Μακρῖνος τῶν περὶ τὴν γερουσίαν καὶ τῶν ἐν τέλει, ὑποπτευθεὶς δὲ τῷ βασιλεῖ διὰ τὰς προρρήσεις τοῦ Σαραπίωνος προεπιβουλεύει τἀνδρὶ καὶ τὸν καιρὸν εὖ θέμενος κυνηγετοῦντα λαθὼν ἀποκτείνει, τοσοῦτον ἐπ᾿ αὐτῷ εἰρηκώς, ὅτι 'σὲ τὸ τοῦ ἀδελφοῦ αἷμα ἀντιπεριῆλθεν ὑπὸ σοφῇ προνοίᾳ'. Ἔζησε δὲ ὁ Ἀντωνῖνος ἔτη ἓξ πρὸς τοῖς δυσὶ μησίν.

38 Μακρῖνος. Ἀλλ᾿ οὐδὲ ὁ ἀποκτείνας Ἀντωνῖνον Μακρῖνος καὶ παρανόμως ἐπὶ τὴν βασίλειον ἀρχὴν ἀναβὰς ἀπολελαύκει τῆς ἐξουσίας ἐξελάσας Ἄβιτον τῆς ἀρχῆς, τὸν Ἀντωνίνου υἱόν, ᾧ δὴ κατὰ νόμους ἡ κληρονομία τῆς βασιλείας καθῆκεν. Ἀνὴρ γάρ τις κατ᾿ ἐκεῖνο καιροῦ Εὐτυχιανὸς τοὔνομα στρατιωτικὴν χεῖρα συχνὴν οἰκειωσάμενος χρήμασιν Ἀβίτῳ τὴν βασιλείαν ἐπιφημίζει καὶ διάδημα τῇ κεφαλῇ περιτίθησιν.
267v Εἶτα δὴ πόλεμος | Ἀβίτῳ καὶ Μακρίνῳ συρρήγνυται. Καὶ πίπτει μὲν ἐξ ἑκατέρου μέρους ὄχλος πολύς, ἡττᾶται δὲ τέλος ὁ Μακρῖνος καὶ φυγῇ τὴν σωτηρίαν πιστεύει. Ἀλλ᾿ αὕτη τοῦτον ἠρνήσατο· κατόπιν γὰρ ἄνδρες ἐκ τῆς ἀντικειμένης μερίδος τοῖς ἵπποις ἐλάσαντες καταλαμβάνουσιν ἅμα καὶ σφάττουσιν ἔτος ἓν καὶ ἡμέρας ὀλιγοστὰς βασιλεύσαντα.

---

6 δεκακτύλω **13** Ἀντωνῖνος: bis deest A **16** ἐπιχειρήσαντας **20** προσεπιβουλεύει

3 cf. Ecl. Hist. 286,9–10 = Cedr. I 442,8–9 **4–7** ≈ Ecl. Hist. 286,10–15 ≅ Cedr. I 442,9–15 ≅ Anon. Sath. 33,5–10 **7–9** ≈ Ecl. Hist. 286,15–17 ≅ Cedr. I 442,15–17,

but while, as it were, cramming his pockets with treasures, he neglected to distribute one penny to his soldiers. Therefore, their hopes being deceived, they suddenly attacked him and slaughtered him dreadfully after a life, better to say: a 'failure' in office, of sixty-six days.

36 Severus. After Julian's death reigns a very successful general, named Severus. He had besieged Byzantium and taken it by storming the walls. But now it was walled with impenetrable walls and fortified with seven towers. The walls began at the Thracian gate and came down to the sea in the north. And if you softly whispered along the first tower or tapped on it with your finger, not only the tower itself echoed, but the echo went successively through all the towers. This emperor also built the Zeuxippos bath for the Byzantines, and laid the foundations for the theatre there. During his reign Origenes, son of Leonidas, started his own heresy, and Paulus of Samosata and Actemon also secretly kindled the sparks of that heretical opinion of theirs.
Severus died after seventeen years in office.

37 Antoninus. History calls emperor Antoninus a son of Severus; he was at the same time an awful man who hated his brother. Consequently he killed his brother Geta having invited him for a secret interview. Immediately thereafter he comes out in a hurry, as if scarcely having escaped from that man's first attack. But Sarapion, a man who knew how to foretell the future from the stars, prophesied that Antoninus would die by the hand of Macrinus. Macrinus was a senator and a magistrate. He felt himself under suspicion of the emperor because of the prophecies of Sarapion, and plotted against the man beforehand. He chose the right moment during a hunt and killed him unseen, having said no more to him than this: "a wise providence brought your brother's blood upon you at last".
Antoninus' life as emperor lasted six years and two months.

38 Macrinus. But Macrinus had no more profit by the empire than Antoninus whom he had killed and whom he had succeeded by wresting the power also from Antoninus' son Avitus, who according to the laws should have inherited the empire. For at the same time, a person named Eutychianus had gathered a considerable military force at his own cost and he promised to make Avitus emperor and put the diadem round his head. As a consequence war broke out between Avitus and Macrinus. On both sides masses of people fell, but at the end Macrinus was defeated and sought refuge in flight. Refuge, however, refused him, for men of the opposite side came after him on horseback, seized and killed him, after he had been emperor one year and a few days.

---

cf. Anon. Sath 33,2–3. **9–11** *vide comm.* **13–23** *vide comm.* **16–18** cf. Ecl. Hist. 286,26–28 ≂ Cedr. I 448,22–449,2 **20** προεπιβουλεύει – **22**: cf. Ecl. Hist. 287,1–5 = Cedr. I 449,4–8. *Vide* et *comm.* **24–34** *vide comm.*

39 Ἄβιτος ὁ Ἀντωνίνου υἱός. Οὐδ' Ἄβιτος ὁ Ἀντωνίνου καλός, ἀλλὰ παρανομώτατος καὶ ἀσελγέστατος ἄνθρωπος, θῆλυς ἄντικρυς καὶ τὸ σῶμα καὶ τὴν ψυχήν, καὶ τὰ μὲν ποιῶν, τὰ δὲ πάσχων, ἵν' ἐπικαλύψας ἐρῶ· καί, τὸ μηδ' ἀκοῇ φορητόν, Ἱεροκλέα τινὰ τῶν ἐπ' ἐκείνου ἄνδρα ἑαυτῷ πεποίηται, τὸ δ' ἔτι τούτου ἀνοσιώτερον καὶ μιαρώτερον, τοὺς κρείττους ἐξελιπάρει τῶν Ἀσκληπιαδῶν τεμεῖν, εἴ πως δύναιντο, τὸ ἐφήβαιον καὶ γυναικείαν σχηματίσαι αἰδῶ. Ἀνὴρ δέ τις ἐξανέψιος Ἀλέξανδρος τοὔνομα βδελυξάμενος τοῦτον τῆς ἀναισχυντίας λαθὼν ἀναιρεῖ, ἑαυτῷ καὶ πάλαι τὴν ἀρχὴν μνηστευσάμενος. Ἦν δὲ τῷ Ἀλεξάνδρῳ μήτηρ Μαμαία τοὔνομα θερμὴ περὶ τὴν εὐσέβειαν. Τῷ μέντοιγε Ἀβίτῳ ὅρος τῆς βασιλείας τρία ἔτη καὶ μῆνες ἐννέα.

40 Ἀλέξανδρος ὁ Μαμαίας παῖς. Νεανίας οὗτος ὁ βασιλεὺς καὶ φιλομήτωρ πλέον τοῦ δέοντος. Οὐδὲ γὰρ ἔπραττέ τι ἀφ' ἑαυτοῦ, ἀλλὰ τῇ μητρὶ φιλαρχούσῃ ὑπέκειτο. Ἡ δὲ τὰ μὲν πρὸς τὸ θεῖον εὐσεβὴς ἐγνωρίζετο, οὐ μέντοιγε καὶ αὐτάρκης πρὸς βασιλείαν κυβέρνησιν, ἀλλ' ἦν αὐτῇ τὸ βουλόμενον πλέον τοῦ πρέποντος καὶ τὸν υἱὸν ὥσπερ τινὰ πῶλον ἐπὶ τὸ βασιλεύειν ὁρμῶντα ἐδάμαζε καὶ κατεῖχε χαλιναγωγοῦσα σφοδρῶς. Ὁ δὲ ὑπέκυπτε πρὸς τὸ τῆς χειρὸς ἕλκον ἡνιοχούμενος. Εἰ δὲ καὶ δεήσοι στρατεύεσθαι, αὐτὴ διέταττεν αὐτῷ τὸν στρατόν. Ἀμέλει τοι καὶ Πέρσαις συμμίξας ἡττήθη καὶ αὖθις ἐπανελθὼν ἐπὶ τὰ βασίλεια ὑπὸ τῷ τῆς μητρὸς κόλπῳ ἐτιθηνεῖτο. Καὶ παρὰ τῶν στρατιωτῶν ἀποσφάττεται, ἔτη τρισκαίδεκα καὶ μῆνας ἓξ βεβασιλευκώς.

41 Μαξιμῖνος. Ὄπισθεν μὲν καὶ τοῦτον τῶν λοχευομένων ὥσπερ τὸν Δαβὶδ ἀνεῖλε θεὸς καὶ εἰς βασιλείαν καθίστησι· ῥώμην γὰρ εὐτυχήσας σώματος ἀπὸ ποιμενικῆς ἐπιστασίας τοῦ καταλόγου τῶν στρατιωτῶν γίνεται, εἶτα στρατηγεῖ καὶ τέλος βασιλεὺς ἀνηγόρευται. Ἦν δὲ πόλεμον μὲν τάξαι δεινὸς καὶ πῆξαι φάλαγγα ἱκανός, φονικώτατος δὲ καὶ μιαρώτατος ἄνθρωπος καὶ Χριστιανῶν διώκτης βαρύτατος. Πολλοῖς γὰρ τοῖς ἐγγύθεν γενομένοις ἐπιφανεὶς ⟨φονεὺς⟩ πάντας φιλανθρώπους ἀπέδειξε θράσει τε πολλῷ ῥέων καὶ φιλονεικῶν τὸ τῆς ἀσεβείας κράτος αὐτὸς ἀναδήσασθαι. Ἀλλὰ Μάξιμος καὶ Βαλβῖνος ἐπιβεβουλεύκασι τούτῳ καὶ ἀνῃρήκασι ἔτη ἓξ τὴν βασίλειον κατασχόντα ἀρχήν.

42 ⟨Μ⟩άξιμος καὶ Βαλβῖνος. Οἱ βασιλεῖς οὗτοι ἄθλιοι μὲν καὶ τῆς ἀρχῆς, ἀθλιώτεροι δὲ καὶ τῆς τελευτῆς. Αὐτοί τε γὰρ ἀνελόντες Μαξιμῖνον τῆς βασιλείας βιαίως ἐδράξαντο καὶ στρατιωτῶν ὄχλος αὐτοῖς ἐπιθέμενοι τῆς τε ζωῆς ὁμοῦ καὶ τῆς βασιλείας ἀπήλασαν. Παραπολελαύκει δὲ ἐπὶ

---

51 τὸ : τῷ **52** πρὸ **57** λογχευομένων : correxi compar. LXX Ps. 77, 71 **63** ⟨φονεὺς⟩ addidi, textum autem graviorem corruptelam continere excludi non potest. *Vide* etiam *comm.* **65** ἀναδείσασθαι **69** ἐφράξαντο . Litterae φ et ρ per ligaturam connectae macula obscuratae sunt. **70** ἀπήλαυσαν

39 Avitus, the son of Antoninus. No better was Avitus, Antoninus' son: on the contrary, a very lawless and licentious person, thoroughly effeminate of body and soul, playing the active part as well as the passive, to say it discretely. And — insulting even to hear it — he made a certain Hierokles, one of his household, his 'husband' and as if this were not yet unholy and scandalous enough, he begged the best of the 'servants of Asklepios' [*i. e.* physicians] to let him undergo, if they were able to do it, a transsexual operation. But a cousin of his, named Alexander, found his shamelessness disgusting and managed to kill him in secret, having already a long time canvassed for his own emperorship. Alexander's mother was Mamaea, a deeply pious woman. As for Avitus, the limit of his rule was three years and nine months.

40 Alexander, the son of Mamaea. This emperor was still a young man and more dependent on his mother than was suitable. He did nothing of his own initiative, but always listened to his imperious mother. Now, she was doubtless known as a pious woman, but not at all equal to imperial government. What she wanted was more than could be realised: she tamed her son, who was eager to rule the empire, as if he were a foal and she kept a tight rein on him. And he obeyed every jerk of the reins in her hand. Even when he had set out on a campaign, she drew up the army for him. No wonder, then, that he lost a battle against the Persians, after which he rushed back to the palace and was soothed at the bosom of his mother. He was butchered by the soldiers after a reign of thirteen years and six months.

41 Maximinus. As God had called David away from his flocks and had made him king, in the same way fared Maximinus. He was gifted with a strong body and, after having been a shepherd, became enlisted in the army. He was appointed general and at last acclaimed emperor. He was on the one hand a formidable marshal and a very clever leader of operations with deep ranks, on the other a very murderous and abominable man and a fierce persecutor of the Christians. For, by turning out to be the murderer of many of his intimates he made all other people look humane, brimming over with brutality and being contentious to win for himself the crown of ungodliness. But he was attacked by Maximus and Balbinus and killed after a six years' rule.

42 Maximus and Balbinus. These emperors had a miserable start and an even worse end. They violently seized power by killing Maximinus, but the mass of soldiers rushed upon them and deprived them of both life and empire.

---

§ **39** *vide comm.* § **40** *vide comm.* **54** ἐπανελθὼν: cf. Zon. II 574,12 ἐπανῆλθεν **57** de re, cf. Herod. VII 2, Ecl. Hist. 287, 28, Cedr. I 450,13, Zon. II 574,2. ὥσπερ τὸν Δαβὶδ cf. I Reg. 16,11. **62–65** *vide comm.* **68–73** cf. Ecl. Hist. 288,6–9

κακῷ τῆς βασιλείας καὶ Γορδιανός, καῖσαρ μὲν τὸ πρῶτον ὑπὸ Μαξίμου γενόμενος, αὐτοκράτωρ δὲ μετὰ τὸν Μαξίμου θάνατον ἀναδειχθεὶς ὕστερον. Ἀλλὰ Μάξιμος μὲν καὶ Βαλβῖνος ἡμέρας εἴκοσι πρὸς τοῖς δυσὶν ἐβασίλευσαν, Γορδιανὸς δὲ ἐφ' ὅλοις ἔτεσιν ἓξ τὴν βασιλείαν Ῥωμαίοις ἴθυνε. Φίλιππος δέ τις κατ' ἐκεῖνο καιροῦ ἀναιρεῖ τοῦτον λαθραίως ἐπιβουλεύσας. Ὠριγένης δὲ καὶ μέχρι Γορδιανοῦ παρέτεινε τὴν ζωήν.

43 Φίλιππος. Φιλίππῳ τῷ βασιλεῖ καὶ τὸ ἄνω γένος ἐπ' εὐσεβείᾳ ἐπισημότατον καὶ ἡ ἐξ ἐκείνου φῦσα θυγάτηρ μαρτυρικοῖς ἀριστείοις κεκόσμηται, εἴ τις ἀκούει Εὐγενίαν τὴν μάρτυρα. Καὶ αὐτὸς δὲ μέσος ἀμφοῖν τῶν ἄκρων εἴχετο. Ἤνθει δὲ τὰ Περσῶν ἐπὶ τούτου τοῦ αὐτοκράτορος. Σάβορος γὰρ ὁ Πέρσης ἐξῆρχε τοῦ ἔθνους, ἀνὴρ ὑπερωμίας κατὰ τὸν Σαοὺλ καὶ ὑπερμεγέθης τοῦ σώματος τὴν ἀναδρομήν. Ἐπὶ τοῦτον οὖν στρατεύει Φίλιππος καὶ ἀντήρκεσαν ἐπὶ πολλοῖς πολέμοις ἄμφω μαχόμενοι. Ἀλλὰ τὴν μὲν Περσικὴν καὶ βαρβαρικὴν χεῖρα ἐκπέφευγε Φίλιππος, Δέκιος δέ τις Ῥωμαῖος ἀνὴρ ἐπ' αὐτῆς τῆς παρατάξεως αὐτὸν ἀναιρεῖ ἐκθύμως ἀγωνιζόμενον, ἐνιαυτοὺς πέντε κατασχόντα τὴν βασιλείαν.

44 Δέκιος. Μέγας Χριστιανῶν διώκτης ὁ βασιλεὺς Δέκιος καὶ ποριμώτατος εἰς κακῶν εὕρεσιν καὶ ἐπίνοιαν, τοῖς Διοκλητιανοῖς καὶ τοῖς Μαξιμιανοῖς τοῖς ὕστερον γεγονόσι καὶ βασιλεύσασι παράδειγμα τοῦ τοιούτου κακοῦ γεγονώς. Ἀλλὰ πρὸς τοὺς Σκύθας παραταξάμενος πίπτει ἐπὶ τῆς φάλαγγος. Οἱ δέ φασι τοῦτον ἐπαναζευγνύντα ἐν γῇ χαύνῃ τε καὶ πηλώδει διολισθήσαντα σὺν αὐτῷ ἵππῳ καταδεδυκέναι καὶ ἀφανῆ γεγενῆσθαι. Ἐπὶ τούτου Κλήμης ὁ Στρωματεὺς ἐγνωρίζετο Ἀφρικανός τε ὁ φιλόσοφος καὶ Ναυάτος πρεσβύτερος· Κυπριανός τε ὁ περιβόητος ἐμαρτύρησε καὶ οἱ ἑπτὰ παῖδες οἱ ἐν Ἐφέσῳ ἐν σπηλαίῳ προσπεφευγότες ἀφύπνωσαν καὶ ὁ πολὺς τὰς θαυματουργίας Γρηγόριος ἐγνωρίζετο. Δύο δὲ ἔτη ἐπὶ τῆς βασιλείας ζήσας τελευτᾷ.

45 ⟨Γ⟩άλλος καὶ Βολουσιανός. Δύο μὲν βεβιώκασιν ἔτη ἐπὶ τῆς ἀρχῆς καὶ ὑπὸ στρατιωτικῆς χειρὸς ἀνῃρέθησαν αὐθάδεις ὄντες κατατολμητίαι καὶ τοῖς πολίταις αὐτῶν ἐπαχθεῖς τε καὶ ἀπεχθεῖς. Τούτοιν δὲ βασιλευόντοιν λοιμώδης νόσος τὴν οἰκουμενικὴν σχεδὸν ἅπασαν κατενείματο ἐφ' ὅλοις ἔτεσι πεντεκαίδεκα, ἀπ' Αἰθιοπίας μὲν ἀρξαμένη τῆς πρὸς ἀνίσχοντα ἥλιον, ἐπιδραμοῦσα δὲ καὶ σύμπασαν τὴν ἑσπέραν. Καὶ Σκύθαι δὲ τὸν Ἴστρον διαπεπλευκότες ποταμηγοῖς σκάφεσι μέχρι τῆς Ἰταλίας τὴν δύσιν κατέδραμον, οὔτε τῶν τῆς Ῥωμαίων ἀνταρκεσάντων αὐτοῖς βασιλέων οὔτε στρατηγικῆς συνέσεως ἢ χειρὸς στρατιωτικῆς ἄχρις Αἰμιλιανοῦ αὐτοκράτορος.

---

81 Σάβορος sic ms., qui autem 30,27 habet Σαβόρας. Ecl. Hist. 288,22 legit μετὰ Σαβώρου, Cedr. 451,24 μετὰ Σαπώρου, Zon. II 581,20 Σαπώρου, nom. Σαπώρης (583,8), Glyk. 453,13 rursus scribit μετὰ Σαβώρου **90** γεγόνασι

Besides them, also Gordian had profited at cost to the empire. He had become caesar under Maximus, and had been appointed emperor later, after Maximus' death. Be that as it may, Maximus and Balbinus reigned twenty-two days, Gordian ruled the empire a full six years. Then he is killed by a certain Philip who prepared a secret conspiracy against him. Origenes lived long enough to see Gordian emperor.

43 Philip. The emperor Philip had ancestors who were well-known for their piety and his own daughter was honoured with the crown of the martyrs, if the martyr Eugenia means anything to anybody. Philip himself was something in between the extremes.
During his empire Persian power flourished. For the Persian king Sapor reigned over this people, a man of extreme length and as tall as king Saul. On him advanced Philip and in many battles they balanced each other. Thus Philip escaped the grip of the barbarian Persians, but a Roman called Decius killed him in the battlefield, though he bravely fought. He ruled the empire five years.

44 Decius. The emperor Decius was a notorious persecutor of the Christians and a very ingenious inventor of all sorts of evil. In this respect he functioned as an example for later emperors such as Diocletian and Maximian. He fell in the battlefield during his campaign against the Scythians. There are, however, people who say that while advancing on spongy, muddy ground, he and his horse slipped, became immersed and absolutely vanished. During his reign Clemens the author of the Stromata, the philosopher Africanus and presbyter Navatus became famous. The renowned Cyprian suffered martyrdom, the seven boys in Ephesus, who had taken refuge in a cave, fell asleep and great fame spread of the miracle-worker Gregorius. Decius's death came after two years of reign.

45 Gallus and Volusianus. They lived two years in office and they were killed by the soldiers because of their desperate stubbornness, which made them the cause of abjection and objection among the citizens. Under their emperorship a plague broke out which afflicted almost the whole world during a full fifteen years. It started in Ethiopia at the side of the rising sun to traverse also the west. The Scythians sailed across the Danube with their river boats and penetrated even as far as the Western part of Italy, and none of the Roman emperors nor strategic insight or bravery of the soldiers could stop them until the emperor Aemilian.

---

73 ἡμέρας εἴκοσι πρὸς τοῖς δυσίν: cf. Ecl. Hist. 288,6, Glykas 453,12. **94** Ecl. Hist. 289,2 sqq.: *vide* et *comm.* **6** sqq.: cf. Ecl. Hist. 289,9 sqq., Zon. II 590,9 sqq. **9** sqq.: cf. Ecl. Hist. 289,14–15, *vide* et *comm.*

46 Αἰμιλιανός. Ὁ βασιλεὺς Αἰμιλιανὸς οὐκ ἐσχεδίασε τὴν βασίλειον ἀρχὴν ἐπ᾽ αὐτῷ, ἀλλὰ κατὰ Σκυθῶν ἐλάσας καὶ κατὰ κράτος τούτους
268r ἑλὼν (ἦγε δ᾽ ἐπ᾽ αὐτοὺς Λίβυας καὶ ⟨...lac. ind. fere 15 litt...⟩), οὕτω τῆς βασιλείας ἠξίωται. Καὶ ἦν μὲν ἀνὴρ ἀγαθὸς | τὰ πολέμια καὶ κρείττων τῶν ἐναντίων, ἥττων δὲ τῶν εὐτυχημάτων. Ἐπῆρτο γὰρ αὐτῷ τὸ φρόνημα ἐπὶ τοῖς κατορθώμασι καὶ τῶν ὑπὸ χεῖρα δεινῶς κατωφρύωτο. Ἔνθεν τοι καὶ ἀπηχθάνοντο αὐτῷ τὸ στρατιωτικὸν φῦλον καὶ ἐμίσουν σφοδρῶς. Καὶ ὃν πολεμοῦντα ἐθαύμαζον, τοῦτον εὐτυχοῦντα διὰ τὴν ἀλαζονείαν ἀπεβδελύττοντο· ἀνῃρήκασι γοῦν ἐξαπιναίως αὐτῷ ἐπιθέμενοι μῆνας τέσσαρας βασιλεύσαντα.

47 Οὐαλλερῖνος καὶ Γαλλῖνος. Οὗτοι ἐβασίλευσαν ἔτη πεντεκαίδεκα ⟨καὶ⟩ ἐπ᾽ αὐτῶν τῶν βασιλείων συνανῃρέθησαν· ὡς δέ τινος ἐγὼ τῶν συγγραφέων ἤκουσα, Γαλλῖνος μὲν ὕστερον τελευτᾷ, Οὐαλλερῖνος δὲ ὁ πατὴρ Πέρσαις πόλεμον συμβαλὼν (Σαβόρας δὲ τότε ἦρχε τοῦ ἔθνους) καὶ ἡττηθεὶς δορυάλωτος γίνεται. Καὶ οὐ τοῦτο δεινόν, ἀλλ᾽ οἱ Πέρσαι δεινὸν ἐπ᾽ αὐτὸν εὗρον τὸν θάνατον καὶ ὥσπερ ἱερεῖον θύσαντες, εἶτα δή τι μέρος διατεμόντες τοῦ σώματος καὶ αὐλῶνι φυσήσαντες καὶ ὅλον πικρῶς ἀποδείραντες ἀσκὸν ἐκεῖθεν πεποίηνται. Τῶν δὲ στρατιωτῶν πεζῶν τὰ πολλὰ μαχομένων τὸ πρῶτον ἱππικὰ τάγματα Γαλλῖνος κατεσκευάσατο.

48 Κλαύδιος. Κλαυδίῳ τῷ βασιλεῖ τὸ γένος ἐπίσημον καὶ ὁ τρόπος ἐπισημότερος. Πάππος δὲ οὗτος Κωνσταντίνου τοῦ θείου [τοῦ] αὐτοκράτορος. Οὗτος μὲν γὰρ Κωνστάντιον γεννᾷ, Κωνστάντιος δὲ τὸν εὐσεβῆ Κωνσταντῖνον, ὃς 'μέγας' ἐπωνομάσθη διά τε τὴν πρὸς τὸ θεῖον εὐσέβειαν καὶ τὰ μεγάλα καὶ πολλὰ κατορθώματα. Οὗτος ἀνοήτου τινὸς ἀπόφημά τινα κατ᾽ αὐτοῦ φθεγξαμένου καὶ τῶν περὶ αὐτὸν δορυφόρων τὰ ξίφη ἐπὶ τὸν ὑβριστὴν ἐπανατειναμένων 'ἐπὶ τοὺς ὡπλισμένους' εἰρήκει 'ἀλλὰ μὴ ἐπὶ τοὺς γυμνοὺς καὶ ἀόπλους'. Ἐπὶ τούτου τῶν Σκυθῶν οἱ γενναιότατοι ἐπὶ τὰς Ἀθήνας στρατεύσαντες ἔμελλον καὶ τὰς βίβλους αὐτῶν πυρὸς ἔργον ποιήσασθαι, ἀλλά τις τούτων δεινὸς τὸ φρόνημα διεκώλυσεν εἰρηκώς· 'ἄφετε τὰς βίβλους τοῖς Ἀθηναίοις, ἵνα σχολάζοντες ταύταις ἀμελῶσι πρὸς τὸν πόλεμον'.

49 Αὐρηλιανός. Εἰώθει λέγειν Αὐρηλιανός, ὡς δεῖ τὸν βασιλέα πολλὰ μὲν ὄμματα ἔχειν, ὦτα δὲ πλείονα· μὴ γὰρ ἐξαρκεῖν δυσὶν ὀφθαλμοῖς καὶ τοσούτοις ὠσίν. Ἔνθεν τοι ἀπορρήτους εἶχεν ἐπόπτας τῶν κρυφῇ πραττομένων καὶ ἀκροατὰς τῶν ἐν παραβύστῳ λεγομένων. Τούτων εἷς ὑπονοηθεὶς ὑφέρπων τὸν αὐτοκράτορα καὶ ἐπὶ κακῷ τῇ πίστει χρώμενος ἐξῶσται παρ᾽ αὐτοῦ καὶ καταπεφρόνητο. Ὁ δὲ πρὸς κακόνοιαν ἐξενεχθεὶς

---

14 Αἰμιλιανοῦ : Ms. nomen huius imperatoris ubique spiritu cum aspero notat **16** Possis ... καὶ ⟨ἀπέκτεινε ἅπαντας⟩ compar. Zon. II 590,20 **25** καί[2] inserui **35** τοῦ[2] delevi **50** ὑφεόπων (εο in ligatura) **51** ἐξῶστε

46 Aemilian. The emperor Aemilian did not obtain the imperial rule by his own effort, but was esteemed worthy of the empire after his campaign against the Scythians, in which he forcefully defeated them (by leading Libyans and ⟨lacuna of ± 15 letters ...⟩ against them). He was a clever man in warfare and better than his adversaries, but he was not equal to his successes. He became haughty due to his achievements and he behaved very superciliously toward his subjects. Hence the soldiery was vexed and intensely hated him. Thus, the one whom they admired at war, the same did they abhor because of his boastfulness after success. Suddenly they rushed upon him and killed him. He ruled four months.

47 Valeri(a)n and Galli(e)nus. These men lived fifteen years in the office and were killed together in the palace. From one of the authors I have understood, however, that Gallienus died later, and that his father Valerian, waging war against the Persians (at that time Sapor was king of that people) and being defeated, was made prisoner. Not that was the evil thing, but that the Persians thought of an evil manner to kill him: they offered him as a sacrifice, next they had a part of his body cut off, had him blown up with a pipe, totally skinned and finally made into a bag. Gallienus was the first to transform infantry-troops, the common form for fighting troops, into squadrons of cavalry.

48 Claudius. The emperor Claudius sprang from a noble family. His character was even more noble. He was the grandfather of the divine emperor Constantine. For he begot Constantius, and Constantius the pious Constantine, who was surnamed 'the Great' because of his reverence towards the Divinity and because of his many important achievements. Once, when a fool shouted some abusive words in his direction and his guardsmen already had drawn their swords to kill the insolent man, Claudius said: "thus against the armed, not against the naked and unarmed".
During his reign the most brave troops of the Scythians penetrated as far as Athens. As they were about to throw the books of the Athenians into the fire, one very shrewd fellow-soldier stopped them, saying: "let the Athenians have their books: being busy with books, they will be careless about war!"

49 Aurelian. Aurelian used to say that an emperor had need of many eyes, but of ears even more: two eyes and an equal number of ears did not suffice. Hence he had his secret spies upon clandestine deeds and his stealthy listeners to hole-and-cornertalk. One of them, suspected of conspiring against the emperor and of abusing his confidence to an evil purpose, was sent away and held in contempt. This man, however, inspired to greater malice, whispered

---

16 ἦγε δ' ἐπ' αὐτοὺς Λίβυας: cf. Ecl. Hist. 289,22 ἔχων καὶ Λιβυκὸν στρατόν **18** ἐπῆρτο ... τὸ φρόνημια ἐπὶ τοῖς κατορθώμασι: cf. Ecl. Hist. 289,23 ἐπήρθη τῇ εὐτυχίᾳ. **24** *vide comm.* **31** *vide comm.* **44–45** cf. Ecl. Hist. 290,3–7, Cedr. I 454,12–17. **49–53** cf. Cedr. I 455,3–8 ≊ Ecl. Hist. 290,18–22, *vide comm.* ad § 49.

πλείονα πρὸς τὸ οὖς ἑκάστῳ τῶν ἐν τέλει ὑπεψιθύριζεν, ὡς μέλλοιεν ἅπαντες ὑπὸ τοῦ βασιλέως φθαρήσεσθαι. Οἱ δὲ δείσαντες ἐπιπίπτουσι τούτῳ ἐξαπιναίως καὶ ἀποκτιννύουσιν οὐδὲν ἀπονάμενον οὔτε τῶν πολλῶν ὀφθαλμῶν οὔτε τῶν ἀκοῶν. Δεῖ μὲν γὰρ χρῆσθαι τὸν βασιλέα καὶ πολλοῖς ὀφθαλμοῖς καὶ πολλαῖς ἀκοαῖς, ἀλλ' οὐκ ἐπιβούλοις καὶ κακοήθεσι, ἀλλ' εὐνοϊκοῖς καὶ δικαίοις.

50 Κιντίλιος. Κιντιλίῳ βραχὺς μὲν ὁ τῆς ἡλικίας χρόνος (ἡμέραι γὰρ εὐαρίθμητοι), αἱ δὲ πράξεις πολλαί. Τῆς [ἐξ] αὐτῆς ἡμέρας καὶ δημοσίοις ὡμίλει πράγμασι καὶ στρατιωτικῶν καταλόγων ἐφρόντιζε καὶ τῶν ἐν τέλει ἐκήδετο. Καὶ πᾶν ὁτιοῦν τῶν συνεισενεγκεῖν τῇ ἀρχῇ δυναμένων λυσιτέλειαν ἔλεγέ τε καὶ ἔπραττε. Τοῦτο δὲ πολλάκις δημοσίᾳ εἰώθει φθέγγεσθαι, ὅτι 'οὐ τὸν στρατιώτην δεῖ μόνον ἐπὶ τὰ δεξιὰ καὶ τὰ ἀριστερὰ τὴν ἀσπίδα μετενεγκεῖν δύνασθαι, ὅ φησιν Ὅμηρος, ἀλλὰ καὶ τὸν βασιλέα ἐπιδέξιόν τε εἶναι καὶ ἐπαρίστερον καὶ τοῖς μὲν ἀγαθοῖς προτείνειν τὴν δεξιάν, τῶν δὲ πονηρῶν τῇ εὐωνύμῳ ἀντιλαμβάνεσθαι'. Οὗτος ὁ βασιλεὺς ἀποστάσεως καὶ ἐπαναστάσεως ἐπ' αὐτὸν γενομένης γενναίως πρὸς τοὺς ἐπαναστάντας ἀντεπηνέχθη· ἐπεὶ δὲ πλείους εἶδεν ἢ ὥστε ἀπολέσασθαι τούτους, δεδιώς, ἵνα μὴ ἁλώσιμος αὐτοῖς γένηται, 'δεῖν' ἔφη 'τὸν βασιλέα ἑαυτὸν ὑπεξαγαγεῖν τοῦ βίου ἢ ἑτέρους ἐᾶν τοῦτο ποιεῖν', καὶ τὴν φλέβα τεμὼν εἶτα μὴ ἐπισχὼν τελευτᾷ.

51 Τάκιτος. Ἐδυστύχησε περὶ τὴν ἀρχὴν ὁ βασιλεὺς Τάκιτος οὐκ αὐτὸς αἰτίαν τοῦ δυστυχήματος παρασχών, ἀλλὰ τύχης, ἵν' οὕτως εἴπω, γέγονε παρανάλωμα. Τὸ γὰρ συγγενὲς εὐνοϊκώτερον τοῦ ὀθνείου ἡγούμενος τοὺς κατὰ αἷμα τούτῳ προσήκοντας ταῖς τῶν ἡγεμονιῶν ἐπιμελείαις ἐπέστησεν· ἢ γὰρ οἰκείοις τὸν βασιλέα ἔλεγεν ὄμμασι δεῖν ἐν ταῖς ἐπιστασίαις τῶν πραγμάτων χρῆσθαι ἢ μὴ παντάπασιν ἀλλοτρίοις, ἀλλὰ συγγενικοῖς. Ἀλλά τις τῶν τούτου συγγενῶν τὴν τῶν Ἀσυρίων ἀρχὴν πιστευθεὶς πονηρῶς τούτους ἐλῄστευε καὶ ἀπηνέστερον προσεφέρετο. Οἱ δὲ δυσχεράναντες τὴν τούτου ἐπάχθειαν ἀνηλεῶς ἀποσφάττουσιν, εἶτα δείσαντες, μὴ ἀγανακτήσας ἀνέλοι τούτους ὁ βασιλεύς, ἐπιβουλὴν κατὰ τούτου ἀρτύουσι καὶ τοῦ σκοποῦ τυχόντες ἀποκτιννύουσιν ἐπὶ δυσὶν ἔτεσι κατασχόντα τὴν βασιλείαν.

52 Πρόβος καὶ Φλωριανός. Ἀδελφὼ μὲν ἤστην, οὐχ ὁμοτρόπω δέ. Ὁ γάρ τοι Πρόβος δυσχεραίνων τὸ μετὰ Φλωριανοῦ τὴν βασιλείαν ἰθύνειν καὶ τῆς μοναρχίας ἐξόχως ἐρῶν ὑποκρίνεται τὸν μεμηνότα καί ποτε ξίφος γυμνὸν τῇ χειρὶ λαβὼν ἐπεισπίπτει τῷ ἀδελφῷ καὶ ἀποκτιννύει. Καὶ εὐθὺς τὴν ὑπόκρισιν ἀποβάλλεται καὶ βασιλικὸν ἐπιδείκνυται φρόνημα.

---

52 μέλοιον **53** δύσαντες cf. Zon. II 608,1 δείσαντες, Cedr. I 455,8 φοβηθέντες, *id.* Anon. Sath. 39, 15 **59** ἐξ delevi , *vide comm.* **67** γενομένης ms. post corr. e γενομένοις **78** Ἀσυρίων. Idem habet nomen Ecl. Hist. 290,28 ἐπέστησε τῇ Ἀσυρίᾳ , Cedr. I 463,8 *idem*. Verisimilius Συρίων cf. Zos. I 63,4, Zon. II 608,15 **79** τούτοις

into the ear of every important person, that they would all be destroyed by the emperor. They became frightened, suddenly attacked the emperor and slew him; of what use were his many eyes and ears then? True, an emperor should make use of many eyes and ears, but only honest and just ones, and not treacherous or malicious ones.

50 Quintilius (*i. e.* Quintillus). For Quintilius, life was short — his days (in office) can easily be numbered — but his deeds were many. On one and the same day he attended to public affairs, saw to the enlistment of soldiers and busied himself with the magistrates. Whatever might contribute to the prosperity of the state was said or done by him. More than once he said in public: "not only the common soldier has to be able to handle his shield at the right as well as at the left side, to quote Homer, but an emperor must be more than apt for right and left, in order to indicate with his right hand the right way to righteous people and to prevent with his left the evil ones". Confronted with a rebellion and uproar against him, this emperor bravely advanced toward the mob. Seeing, however, more people than he could possibly destroy, he began to fear that he should be caught himself. With the words "it is better for an emperor to take his own life than to let others take it" he opened his vein and died without delay.

51 Tacitus. The emperor Tacitus was unfortunate in his office, not being himself the cause of his misfortune, but being, so to speak, fortune's toy. For, relying more upon a relative's loyalty than a bastard's, he trusted his relatives with the responsibility for high commands. It was his saying that the emperor should use his own eyes to control the conduct of affairs and certainly not those of others, unless of relatives. One of his relatives, however, whom he trusted with the administration of the Assyrians, bled them white and treated them cruelly. They reacted in disgust at his intolerable behaviour and butchered him without mercy. Afterwards, afraid that the emperor would be vexed with them and would have them executed, they plotted against him. Attaining their end they murdered him after he had been in office for two years.

52 Probus and Florianus. Two brothers, opposite characters! Probus felt annoyance at having to share the empire with Florianus, and, passionately desiring to rule alone he began to play the fool. One day he took a naked sword in his hand, dashed upon his brother and slew him. He immediately stopped his pretence and showed an imperial disposition. To those who

---

64 cf. Hom. H 328 **70** ἑαυτὸν ὑπεξαγαγεῖν: = Zos. I 47,2, *vide comm.*, cf. Ecl. Hist. 290,12 = Cedr. I 454,21 **71** cf. Zos. I 47,3, Ecl. Hist. 290,13–14 ≂ Cedr. I 454,21–22. **78–83** cf. Zos. I 63,4 sqq., Ecl. Hist. 290,27–30 ≈ Cedr. I 463,7–10. Cf. et Zon. II 608,15–19. **86** ὑποκρίνεται τὸν μεμηνότα: cf. Ecl. Hist. 291,2 παράφρονα ἑαυτὸν ποιήσας = Cedr. I 463,12 ≂ Glyk. 456,8.

Πρὸς δὲ τοὺς δυσχεραίνοντας τὸ πρὸς τὸν ἀδελφὸν μῖσος 'ἐγώ' φησιν 'καὶ τὸν δεξιὸν ὀφθαλμὸν ἡδέως ἂν ἐξορύξαιμι, εἰ ἐμποδὼν ὁρῴην τῷ εὐωνύμῳ'. Ἐπὶ τούτου σῖτον ἐξ οὐρανοῦ ὕδατι βεβρεγμένον ὑετίζει θεός. Περιττὸς δὲ τὴν δικαιοσύνην φαινόμενος ἀναιρεῖ τοὺς Τάκιτον καὶ Αὐρηλιανὸν ἀποκτείναντας. Ἔνιοι δὲ τούτων λαθόντες διέφυγον, εἶτα δείσαντες, μὴ ἁλώσιμοι γένοιντο, ἀνηρήκασι τοῦτον βασιλεύσαντα ἔτη δύο καὶ μῆνας τέσσαρας.

53 Μάρος, Καρῖνος καὶ Νουμεριανός. ⟨Μ⟩άρος πατὴρ παίδων δυεῖν, Καρίνου καὶ Νουμεριανοῦ, οὓς ἅμα τῷ κρατῆσαι τῆς ἀρχῆς βασιλέας πεποίηκεν. Οὗτος ἐπὶ Περσίδα στρατεύσας τὴν Κτησιφῶντος πόλιν εἷλε πολιορκήσας. Τούτου δὲ μετὰ βραχὺ τελευτήσαντος | 268v καὶ τοῦ ἀδελφοῦ Νουμεριανοῦ ὑπὸ ῥεύματος τὰς ὄψεις ἀφαιρεθέντος, ὁ Καρῖνος τῶν ὅλων πραγμάτων ἀντιλαμβάνεται, γενναῖος ἀνὴρ καὶ τρυφᾶν μὴ εἰδώς, ἀλλὰ τὸ πρόσωπον αὐχμηρὸς καὶ ἀθώπευτος τὴν ψυχήν. Οὗτος ἐπὶ Ἀρσάκην ἐστράτευσε τὸν Ἀρμένιον καὶ πρεσβείας ἐκεῖθεν πρὸς αὐτὸν ἐλθούσης χρηματίζων τοῖς πρέσβευσι λόγον μὲν οὐ μακρὸν πρὸς αὐτοὺς εἰρήκει, τὴν δὲ κεφαλὴν ἀπογυμνώσας (ἦν δὲ ψιλότατος) τοσοῦτον αὐτοῖς ἀπεκρίνατο, ὡς 'οὐδὲν ἧττον τῆς ⟨ἐμ⟩ῆς κεφαλῆς ψιλοτέραν τὴν τοῦ βασιλέως Ἀρσάκου ἀρχὴν τῶν ἐνοικούντων ποιήσομαι'.

54 ⟨Δ⟩ιοκλητιανός. Τῷ βασιλεῖ Διοκλητιανῷ ἦν μὲν καὶ στάσιμον φρόνημα καὶ χεὶρ στρατιωτικὴ καὶ γενναία καὶ ἄλλ' ἄττα τῶν ἐπαινετῶν, ἀλλ' ἡ ἀσέβεια καὶ ὁ κατὰ Χριστιανῶν διωγμὸς πάντα αὐτῷ ἐπεκάλυψε. Τοσοῦτον δὲ αὐτῷ τὸ περιὸν τῆς πρὸς τοὺς εὐσεβεῖς κακοηθείας καὶ πονηρίας, ὡς ἐπειδὴ μὴ δεδύνητο μεταβαλεῖν τούτους τοῦ γενναίου φρονήματος, μανεὶς ἀποτίθεται τὴν ἀρχήν. Τέως δὲ μὴ ἐξαρκῶν τοῖς βασιλικοῖς πράγμασι κοινωνὸν ποιεῖται τῆς ἀρχῆς Μαξιμιανὸν τὸν Ἑρκούλιον, γαμβρόν τε αὐτοῦ καὶ φίλον τυγχάνοντα. Εἶτα δὴ ἑκάτερος τούτων ἐπὶ ταῖς ἰδίαις θυγατράσι κηδεστὰς ἑτέρους ποιοῦνται, καὶ Διοκλητιανὸς μὲν ἐπὶ τῇ παιδὶ Βαλλερίᾳ Γαλλέριον, Μαξιμιανὸς δὲ ἐπὶ τῇ Θεοδώρᾳ Κωνστάντιον. Καὶ Γαλλέριος μὲν νικήσας Πέρσας ἀριστείων ἠξιώθη στεφάνων, Κωνστάντιος δὲ ἑτέρων ἐθνῶν ἐγκρατὴς γεγονὼς τροπαιοφόρος ἐπὶ τὴν Ῥώμην ἀνέζευξεν. Ἦν δὲ οὗτος τοῦ μεγάλου Κωνσταντίνου πατὴρ οὐκ ἐκ Θεοδώρας, ἀλλ' ἐκ τῆς θαυμασίας Ἑλένης τοῦτον ἀποτεκών, ὃν δὴ καὶ τελευτῶν ἀναδείκνυσι βασιλέα ἧττον τῶν ἄλλων αὐτοῦ παίδων πεφροντικώς.

---

91 τούτω **1** Μάρος[1] sic ms., litera Μ minio scripta. Μάρος[2] : deest M. Nomen imperatoris est autem Carus. Confusionem huius nominis extitisse probat Anon. Sath. 40,6, qui scribit Σάρος **9** πρέσβευσι sic ms.: eundem accentum habet ms. ad 30, 13, necnon Psell. *Const. VIII*, VI 6; in *Is. Comn.* XLVI 8 autem πρέσβεσι. Vide et Renauld *Et.* 7. **14** ἄλλ' ἄττα : ἀλλάττα. Renauld *Et.* 21 eandem autem indicat expressionem stylo ἄττα positione enclitica usitato : ἄλλαττα B.G. IV 445,31 **15** ἀπεκάλυψε : correxit Kambylis

blamed him for hating his brother he replied: "I should gladly have my right eye put out, if I saw it to be a hindrance to my left eye".
During this reign God let it rain water-soaked bread from heaven. He showed remarkable justice by executing the murderers of Tacitus and Aurelian. But some of them escaped unnoticed, and afraid of being caught, they killed him. He reigned two years and four months.

53 Marus (sic! *i. e.* Carus), Carinus and Numerianus.
Marus was the father of two sons, Carinus and Numerianus, whom he made (co)emperors at the moment that he took possession of the empire. He waged war against Persia and took the town Ctesiphon by siege. Shortly thereafter he died and one of the brothers, Numerianus, lost his sight as a consequence of flux. Thus Carinus took in hand the full power. He was a noble man who did not know any extravagance, but kept his face emotionless and his soul closed to flattery. While leading his troops against the Armenian Arsaces, he was approached by a delegation from the enemy. Giving audience to them he said very little, but bared his head (being, indeed, very bald) and formulated this answer: "I'll make king Arsaces' realm no less bare of inhabitants than my head is bald".

54 Diocletian. The emperor Diocletian had a steadfast character, the hand of a brave soldier and other laudable qualities, but this was all neutralised by his godlessness and persecution of the Christians. His malignancy and wickedness towards them were so excessive, that when he could not lead them astray, he became crack-brained and laid down his task. Being no match for imperial affairs he shared his power with Maximian Herculius, his son-in-law and friend. Each of them established a new connection by marrying off his own daughter: Diocletian his daughter Valeria to Gallerius, Maximian his Theodora to Constantius. Gallerius vanquished the Persians and received the honorary crown, Constantius subdued other peoples and marched in triumph to Rome. This Constantius was the father of Constantine the Great, not begetting him from Theodora, but from the admirable Helena. At his death he appointed this son emperor, being less concerned about his other sons.

---

91 *vide comm.* **92** ἀναιρεῖ – ἀποκτείναντας: cf. = Ecl. Hist. 291,17 = Cedr. I 464,3–4. *Vide* et *comm.* **3** cf. Ecl. Hist. 291,23 = Cedr. I 464,6. Cf. et Sync. I 724,13–14 et Zon. II 610,23. **4–6** cf. Ecl. Hist. 291,25–26 = Cedr. I 464,9–11 (*vide comm.*); cf. et Sync. I 724,17 sqq. **16–18** *vide comm.* **18–20** cf. Ecl. Hist. 292,1–3 ≂ Cedr. I 464,15–16. **20–23** cf. Ecl. Hist. 292,5–9, et illic Βαλλερία duplicata littera λ; Cedr. I 469,20–470,2, Chron. Pasch. I 516,11–15, Theoph. 7,1–6, cf. Eutrop. IX 22 et iterum Theoph. 11,1–4 (= Hier. Chron.), ubi mss. acgy scribunt Βαλλερίᾳ. Vide et Zon. II 614,24–615,8: κηδεστάς, Βαλλερίαν et Anon. Sath. 41,1–8. **26–28** cf. Zon. II 623,1-2

55 Κωνσταντῖνος ὁ μέγας. Κωνσταντῖνος ὁ μέγας καὶ τῷ κατὰ πάθος κράτει καὶ τῷ τῶν ἀνδραγαθημάτων μεγέθει. Ἐν Ῥώμῃ μὲν ὑπὸ Σιλβέστρου βαπτίζεται, πόλεμον δὲ εὐθὺς κατὰ Σκυθῶν κινήσας νενίκηκεν. Εἶτα κατὰ Λικινίου τοῦ γαμβροῦ στρατεύσας ἀποστασίαν ἤδη ὠδίναντος κατ' αὐτοῦ οὐκ ἐτρέψατο μόνον, ἀλλὰ καὶ δορυάλωτον εἷλεν ὁπηνίκα καὶ σταυροειδὲς σχῆμα κατὰ μεσημβρίαν ἐν οὐρανῷ αὐτῷ τεθέαται ἄστροις ἐξεικονισμένον λαμπροῖς. Οὗτος τῆς πρεσβυτέρας Ῥώμης ἐξεληλυθὼς κατὰ θείους χρησμοὺς τὴν ἐπώνυμον αὐτῷ πόλιν ἱδρύσατο. Σύνοδος πρώτη. Σύν⟨οδ⟩ον δὲ πρώτην ἐν Νικαίᾳ κατὰ τοῦ ἀσεβοῦς Ἀρείου κροτήσας ἐξελαύνει τῆς ἐκκλησίας κτίσμα τὸν τοῦ θεοῦ υἱὸν ἔκ τινων παρακουσμάτων ἑλληνικῶν φλυαρήσαντος. Πολλοὺς δὲ πολέμους κατὰ Περσῶν ποιησάμενος ἐν διηριθμημένοις καιροῖς τὴν τούτων παύει θρασύτητα. Τοῖς δὲ τρισὶν αὐτοῦ παισὶ τὴν σύμπασαν τῶν Ῥωμαίων διεμέρισεν ἐξουσίαν, τῷ μὲν πρώτῳ, Κωνσταντίνῳ, τὰς ἄνω Γαλλίας καὶ ἕως τοῦ ἑσπερίου ὠκεανοῦ κληροδοτήσας, τῷ δὲ ὑστάτῳ, Κώνσταντι, τὴν Ἰταλίαν καὶ τὴν Ῥωμαίων ἀπονειμάμενος, τῷ δέ γε Κωνσταντίῳ τὴν ἀνατολὴν ἅπασαν καὶ αὐτὴν δὴ τὴν μεγαλόπολιν, ἣν ἐκεῖνος ἐξῳκοδόμησεν. Ἀλλ' ὁ μὲν Κωνσταντῖνος ἐπαναστὰς τῇ μερίδι τοῦ ἀδελφοῦ Κώνσταντος πίπτει μαχόμενος. Εἶτα δὴ καὶ ὁ Κώνστας ὑπὸ Μαγνεντίου ἀπόλλυται καὶ τῆς συμπάσης ἀρχῆς αὐτοκράτωρ ὁ Κωνστάντιος ἀποδείκνυται. Καὶ τὰ μὲν περὶ τῶν υἱέων τοῦ μεγάλου Κωνσταντίνου ταῦτα. Ὁ δέ γε θεῖος Κωνσταντῖνος οὕτως ἦν μισοπόνηρος, ὡς πολλάκις ἐπὶ τοῦ βασιλείου βήματος ἀποφθέγγεσθαι μὴ δεῖν φείδεσθαι τὸν βασιλέα ἕνεκα τῆς τῶν πραγμάτων καταστάσεως μηδενὸς τῶν πάντων, ἀλλὰ μὴν μηδὲ τῶν οἰκείων μελῶν. Πρὸς δὲ τοὺς πονηρευσαμένους εἶτα μεταβαλλομένους φιλανθρωπευόμενος εἰώθει λέγειν, ὅτι 'τὸ νοσοῦν μέλος ἀποκοπτέον τῷ ἀρρωστοῦντι, οὐ μὴν τὸ ὑγιείας τετυχηκός'. Ἔζησε δὲ ὁ βασιλεὺς οὗτος ἔτη πέντε πρὸς τοῖς ἑξήκοντα, ἐβασίλευσε δὲ τρία πρὸς τοῖς τριάκοντα.

56 Κωνστάντιον τὸν υἱὸν τοῦ μεγάλου Κωνσταντίνου ὁ λόγος φθάσας ἐδήλωσεν. Ἦν δὲ οὗτος τὰ μὲν περὶ πολέμους δραστήριος καὶ τὴν γνώμην ἐν τοῖς δεινοῖς στάσιμος, ἀμφίβολος δὲ τὴν εὐσέβειαν. Ἐπεπόνθει δὲ τοῦτο οὐ διὰ ψυχῆς κακοήθειαν, ἀλλὰ δι' ἀμαθίαν τῶν καθ' ἡμᾶς δογμάτων καὶ τῆς ἀκριβοῦς πίστεως. Ἔνθεν τοι ὁ Νικομηδείας Εὐσέβιος ἀρειανίζειν ἔστιν οὗ τοῦτον ἀνέπειθε καὶ τὴν λέξιν τοῦ ὁμοουσίου ὡς ἄγραφον ἐκβαλεῖν. Τούτῳ δὴ τῷ Κωνσταντίῳ ἐξανέψιοι ἐγεγόνεισαν Γάλλος καὶ

---

33 εἶλας **37** Σύνοδος, Σ minio scriptum Σύνοδον, Σ in margine minio scriptum; Σύν⟨οδ⟩ον post corr.: primo scriba σύνον mutavit in σύνοδ, postea litteras ον suprascripsit miniator. **40** διηριθμημένοις : litterae ηρι male discerni possunt. **41** σύμπασαν τῶν : σύμπασαν κατὰ Περσῶν ποιησάμενος τῶν : verba κ.Π.π. e priore linea repetita delevi **55** ὑγείας τετυχηκώς **62** Εὐσέβιος sic, ut videtur, post corr. ex εὐσέβειος aut εὐσεβείας **64** ἓξ ἀνεψιοὶ

55 Constantine the Great. Constantine 'the Great', both because of his strength in suffering and because of the importance of his achievements. No sooner is he baptised by Silvester than he advances on the Scythians and vanquishes them. Next, he had to advance on his son-in-law Licinius who was brooding on defection. Not only did he defeat him but he also made him prisoner in the same battle during which he had seen the shape of a cross in the southern sky, formed by gleaming stars. He left ancient Rome urged by divine oracles and founded the city which bears his name.
First Synod. He convened the first synod in Nicea against the godless Arius, and had him driven out of the church because he nonsensically pretended, on the base of some Greek equivocations, that the son of God was a creature.
He waged many wars against the Persians and put an end to their audacity on a series of occasions. He divided the whole power of the Romans among his three sons: the first, Constantinus received the distant provinces of Gaul up to the western ocean as his share; to the youngest, Constans, he assigned Italy and the city of Rome; to Constantius he gave the whole eastern part, including the great city which he himself had founded.
Constantinus however contested the position of his brother Constans, but fell in the fight. Next, Constans is destroyed by Magnentius, and Constantinus is appointed emperor of the whole empire. This much about the sons of Constantine the Great.
The divine Constantine himself harboured such a hatred of villainy, that he often expressed, speaking from his imperial tribune, his feelings in the following way: "an emperor should not spare a single citizen where public affairs are concerned, and certainly not the members of his own family".
As to villains who were disposed to mend their ways, he would say benevolently that the affected part of an ill person had to be amputated, not the recovered one. This emperor lived sixty-five years of which he reigned thirty-three.

56 Of Constantius, the son of Constantine the Great, mention has already been made in my story when the subject came up. He, too, was energetic in warfare and steadfast in dangerous situations, but hesitant in religious matters. This fault was less a consequence of an evil nature than of ignorance of our dogmas and the true faith. This explains why Eusebius (bishop) of Nicomedea was able to persuade him to subscribe to Arianism and to delete the word 'homoousios' [*i. e.* consubstantional] as spurious.
This Constantius had two cousins, Gallus and Julianus. Gallus adhered to

---

30 Ἐν Ῥώμῃ ... βαπτίζεται: cf. Theoph. 17,25, cf. 33,21, Ecl. Hist. 294,3–4 **34–35** *vide comm.* ἄστροις ἐξεικονισμένον λαμπροῖς: cf. Zon. III 3,4–7 τύπος ... σταυρικός μεσούσης ἡμέρας δι' ἀστέρος ἐφάνη ... δι 'ἀστέρων ... **35–36** cf. Theoph. 23,22–27, Zon. III 13,14/15 – 14,8. **37–39** *vide comm.* **41–46** *vide comm.* **50–55** ~ Zon. III 25,16 – 26,6. **59–60** *vide comm.* **62–64** ≊ Ecl. Hist. 298,27–29, *vide comm.*

Ἰουλιανός. Ἀλλ' ὁ μὲν Γάλλος εὐσεβὴς τὴν τοῦ θείου δόξαν, ἕτοιμος δὲ τὴν γνώμην καὶ τὴν ὄψιν χαρίεις, ὁ δέ γε Ἰουλιανὸς συννεφὴς ἀεὶ καὶ σκυθρωπάζοντι ἐοικὼς καὶ ἑλληνίζων ἄντικρυς. Ὅθεν ὁ Κωνστάντιος ἔχαιρέ τε τῷ Γάλλῳ καὶ προχειρισάμενος καίσαρα πιστεύει τὴν πρὸς ἑσπέραν ἀρχήν. Εἶτα δὴ ἀναιρεῖ χεῖρας πολεμίας τῷ πεπιστευκότι ἀντάραντα. Ἀλλ' αὖθις τὸν ἀδελφὸν Γάλλου Ἰουλιανὸν καίσαρά τε ἐπονομάζει καὶ κατὰ τῶν ἑσπερίων ἐκπέμπει βαρβάρων. Αὐτὸς δὲ κατὰ Περσῶν τοῦ Βυζαντίου ἔξεισι καὶ πρὸς ταῖς ὑπωρείαις τοῦ Ταύρου γενόμενος νοσήσας ἀθρόον τὴν ζωὴν μεταλλάττει ἔτη βεβασιλευκὼς τέτταρα πρὸς τοῖς εἴκοσι. Πρὸ ὀλίγου δὲ τῆς αὐτοῦ τελευτῆς ἀκούσας ὡς Ἰουλιανὸς τυραννικώτερον τῶν πραγμάτων ἅπτεται, τοσοῦτον εἰρήκει, ὅτι 'τὰ ὕπουλα τῶν ὑποιδημάτων οὐκ ἄλλως τέμνεται, εἰ μὴ πρὸς τὴν ἐπιφάνειαν ἐξανθήσει'. Ἔτι δὲ αὐτοῦ πατρὸς Κωνσταντίνου περιόντος τῷ βίῳ αὐτὸς ἐν Περσίδι ὢν καὶ τοῖς βαρβάροις ἤδη συμμίξας ἐκ μέσου τοῦ πολέμου ἀναχωρεῖ καὶ πρὸς τὴν Κωνσταντινούπολιν ἐκθύμως χωρεῖ τὸν πατέρα τελευτῶντα μεμαθηκώς. Πρὸς δὲ τοὺς ἐπέχοντας ἀπεφθέγξατο· 'οὐ θαυμαστόν, εἰ κρείττων μοι ὁ πατὴρ τῶν Περσῶν, ἀλλὰ πρὸς τούτους μὲν αὖθις ἴσως ἐπαναζεύξω, ἐκεῖνον δὲ τεθνηκότα οὐκέτι θεάσομαι'.

269r **57** Ἰουλιανὸς ὁ παραβάτης. | Ἄκανθα ὁ βασιλεὺς Ἰουλιανὸς τῷ εὐώδει ῥόδῳ τῷ εὐσεβεῖ γένει Κωνσταντίνου τοῦ πάνυ παραφυεῖσα. Ἦν δὲ τὴν μὲν ἡλικίαν βραχύς, τὴν δὲ εὐφυΐαν πολύς, σεσοβημένος τοὺς ὀφθαλμούς, ὕβριν πνέων καὶ περιφρόνησιν, σκυθρωπὸς τὰ πολλὰ καὶ φιλοσόφοις προσκείμενος, σοφίας παντοδαποῦς ἐραστὴς καὶ μάλιστα τῆς περιττοτέρας. Ἔνθεν τοι ὀρνέων πτήσεις καὶ καθέδρας περιειργάζετο καὶ τέχνην εἶχε περὶ τὰ σφαττόμενα τῶν ἱερείων, ὅπως πίπτοιεν, ὅπως τοὺς πόδας ἀπολακτίζοιεν, ὁποῖος αὐτοῖς τοῦ αἵματος ὁ κρουνός. Ἐντεῦθεν γὰρ πρόγνωσιν ἔχειν τοῦ μέλλοντος ᾤετο. Τὰ μὲν οὖν πρῶτα πολλὰ τῶν ἀτόπων κατὰ τοῦ θείου Κωνσταντίνου ἐφθέγγετο, εἶθ' ὕστερον πρὸς τοῦτον ἀπεσεμνύνετο λέγων δεῖν ἄκρῳ δακτύλῳ καὶ τοῦ μέλιτος γεύεσθαι. Τὸν δὲ μετ' αὐτὸν βασιλεύσοντα ἔκ τινος μαντεύματος διαγνοὺς (ἦν δὲ ὁ εὐσεβὴς Ἰοβιανός) τοσοῦτον εἰρήκει· 'αἴθε κ' ἂν ἄνθρωπος'. Ἐγκρατὴς δὲ περὶ τὰ φυσικὰ ταῦτα γενόμενος, ἐρυγάς φημι καὶ τὰς διὰ στόματος ἐκκρίσεις καὶ ὅσα τοιαῦτα, ἔλεγε δεῖν τὸν φιλόσοφον εἰ δυνατὸν μηδὲ ἀναπνεῖν, ἀπλήστως δὲ τῶν μαθητῶν ἐχόμενος καὶ τοῖς βιβλίοις ὅσαι ὧραι προσκείμενος ᾔτει παρὰ τῶν οἰκείων θεῶν μήτε ὕπνῳ δαμάζεσθαι μήτε λιχνεύεσθαι περὶ τὰς τρυφάς, ἀλλὰ σύντονον αὐτῷ καὶ ἀδιάκοπον

76 ὑποδημάτων **85** εὐσεβεῖ post corr. ex ἀσεβεῖ Κωνσταντίνω **89** πτώσεις : correxi compar. Georg. Mon. 542,22 qui excerp. Greg. Naz. *Or. IV in Julian.* I §§ 107–109 ex Anastas. Sin. *Quaest.* 65 (PG 89, 680 C)

the orthodox faith, had a good intellect and a pleasant appearance, Julianus always looked dreary, showed a sad countenance and was a thoroughgoing pagan. Hence Constantius was very pleased with Gallus, and he appointed him caesar and trusted him with the rule of the western part. Later he was forced to kill him because he raised hostile hands against the one who had trusted him. Now he nominated Gallus' brother Julianus as caesar, and sent him against the western barbarians. He himself left Byzantium for a campaign against the Persians, but at the foot of the Taurus he suddenly fell ill and lost his life after twenty-four years of reign.
When shortly before his death he heard that Julianus tackled the affairs in a too tyrannical way, he said this: "Impossible to incise internal ulcers: you have to wait until they have ripened and have broken through the surface". Once when he was campaigning in Persia — his father was still alive then — and had even already come to blows with the barbarians, he suddenly left the battle and hastened off to Constantinople because he had heard his father was dying. To those who tried to stop him he said: "do not be surprised: my father is more important to me than the Persians; on them I will perhaps advance again, but him I cannot see any more, when he is dead".

57 Julian the Apostate. The emperor Julian was the thorn in the side of the sweet-smelling rose such as was the pious family of the famous Constantine. His stature was short, but very well shaped. He had a restless glance in his eye, he breathed brutality and contempt, he was mostly sullen and much devoted to (pagan) philosophers, being interested in all sorts of knowledge and especially the eccentric. Hence he was curious after the flights and landings of birds, cast an expert look at falling victims: how they kicked out their legs, how their blood squirted out at the moment of slaughter. This was a method, in his opinion, to get a prognosis of the future. In the beginning he made abundant pejorative pronouncements at the address of the pious Constantine. Later he assumed a more worthy attitude, saying: "the best taste of honey is from the tip of a finger". Having heard from an oracle who his successor would be (this was the pious Jovianus) he did not say more than: "if only human!" He cultivated a great discipline as to those natural activities as e. g. eructations, spitting and so on and he used to say that a philosopher should, if possible, not even breathe, and, being insatiably concerned about his pupils and constantly busy with his books he even begged his own gods to set him free from the compulsion of sleep and greedy desire for luxuries and to make his love for knowledge intense and uninterrupted.

85—89 *vide comm.* **94—95** cf. Corpus Paroemiographorum Graecorum, (ed. Leutsch-Schneidewin) I 24: ἄκρῳ ἅψασθαι τῷ δακτύλῳ: ἐπὶ τῶν οὐκ ἀκριβῶς ἠσκημένων · οἷον· οὐδὲ κατὰ τὴν παροιμίαν ἄκρῳ τῷ δακτύλῳ ἁψάμενος. **1** αἴθε κ'ἂν ἄνθρωπος: cf. Zon. III 72,14, *vide comm.* **1—4** ἐγκρατὴς ... ἀναπνεῖν: ~ Zon. III 69,2—5. *Vide comm.*

τὸν ἔρωτα γενέσθαι τῆς γνώσεως. Κατὰ Περσῶν δὲ στρατεύσας ἐθαύμασε μὲν πρῶτα τὴν Ἀντιόχου πόλιν ἰδών, εἶτ' ἀπῆρε ταχύ, ἐπειδὴ τοὺς Ἀντιοχέας εἶδε τοῦ πώγωνος τοῦτον μισήσαντας. Πέρσαις δὲ προσβαλὼν κατώρθωσε μέντοι, εἶτα δείσας περὶ τοῖς πράγμασιν ἀναζεύγνυσι· Περσῶν δέ τινες κατὰ νώτου τούτῳ γενόμενοι θόρυβόν τε τοῖς ὀπισθοφύλαξι βάλλουσι καὶ μονωθέντα τοῦτον ἰδόντες ἀναιροῦσιν ἔτη δύο τὴν βασίλειον κατασχόντα ἀρχήν.

58 Ἰοβιανός. Πεσόντος Ἰουλιανοῦ ἐν Περσίδι Ἰοβιανὸς ἀναγορεύεται βασιλεὺς εὐσεβείας τε ἕνεκα καὶ τοῦ ἐπιεικὴς εἶναι. Οὐκ ἐπέδραμε δὲ τῇ ἀρχῇ, ἀλλὰ πρὸς αὐτὴν παρὰ τῶν στρατιωτῶν ἐβιάσθη· ἐρωτηθεὶς δὲ ὅτου ἕνεκα οὐκ ἐρῴη τῆς βασιλείας 'ὅτι μὴ Ἑλλήνων βασιλεύειν ἐθέλοι' ἔφησεν 'ἀλλὰ Χριστιανῶν, καὶ βούλοιτο δυεῖν ἄρχειν εὐσεβῶν ἢ ἀσεβῶν πολλῶν μυριάδων' (τοὺς δέ γε πολίτας σύμπαντας καὶ τὸ στρατιωτικὸν γένος πλὴν ὀλίγων Ἰουλιανὸς μετήνεγκεν ἀπὸ Χριστιανισμοῦ εἰς Ἑλληνισμόν). Ὡς δὲ ταῦτα εἰρήκει, τὸ πλῆθος ἅπαν ὥσπερ ἀπὸ συνθήματος ἀνεβόησαν· 'Χριστιανοί ἐσμεν ἅπαντες καὶ τῇ σῇ γνώμῃ ἕτοιμοι πείθεσθαι'. Ἐπὶ τούτοις Ἰοβιανὸς τὸ διάδημα περιτίθεται καὶ βουλῆς προτεθείσης, εἴτε δεῖ πολεμεῖν Πέρσαις εἴτε ἀπαίρειν, εὐθὺς τὸ δεύτερον σύμπαντες ἐψηφίσαντο. Ἐδεδίεσαν γὰρ ἐπικειμένους τοὺς Πέρσας καὶ ἤδη κρατήσαντας. Σπονδὰς οὖν αἰσχίστας πρὸς αὐτοὺς τιθέντες παραχωροῦσι τούτοις πολλῶν ἐθνῶν καὶ πόλεων ὑποφόρων τῇ βασιλείᾳ Ῥωμαίων, εἰρηκότες, ὡς, οὗ πλείων ὁ κίνδυνος, ὁμόσε χωρεῖν καὶ ὠθίζεσθαι θρασύτητος, τὸ δὲ ὑποχωρεῖν ἀσφαλείας, τὸ δὲ ἐν τοῖς τολμητέοις θαρρεῖν θάρσους. Ἀναζευγνύουσι γοῦν ἐκ Περσίδος ἐν μέσοις ἑαυτοῖς τὸν βασιλέα δορυφοροῦντες. Ὁ δὲ καὶ δὴ προῄει λαμπρῶς. Ἔξεισι δὲ καὶ τῆς πόλεως ἡ γυνὴ μετὰ τοῦ *** καὶ τοῦ παιδὸς ὑπαντήσουσα τούτῳ κατὰ μέσην ὁδὸν προπομπὴν ποιησαμένη βασίλειον, ἀλλ' οὐκ ἔφθη τοῦτον ἰδοῦσα. Ἐπειδὴ γὰρ ὁ βασιλεὺς ἐν Ἀγκύρᾳ ἐγένετο (πόλις δὲ αὕτη Γαλατική) ἀμανίτην τῶν ἄρτι φυομένων φαγὼν (ἦν δὲ τὴν δίαιταν εὐτελής) εὐθὺς ἀποθνήσκει οὔτε δι' ἀπληστίαν τοῦ βρώματος, ἀλλ' ἦν ἄρα ὁ μύκης πεφαρμαγμένος. Καὶ τῷ ἑαυτοῦ θανάτῳ συγκαταλύει καὶ τὴν εὐσέβειαν, βασιλεύσας ἔτος ἓν καὶ μῆνας ὀκτώ.

---

30 ἀναζεύγνυσι . Contextus exigit verbum plurale. Temporibus Pselli pluralia verborum in -νυμι in tertia persona praesentis activi formas novas in -ύουσι formis classicis in -ύασι praeferunt, ut videtur (cf. Renauld *Et.* 65 sqq.) **32** μετὰ τοῦ καὶ τοῦ παιδός. Possis aut μετὰ [τοῦ] καὶ τοῦ παιδός, aut (ἡ γυνὴ) αὐτοῦ μετὰ τοῦ παιδός, cf. Zon. III 71,15—18 καὶ οὐδὲ ἡ γυνὴ αὐτοῦ ἔφθη τοῦτον θεάσασθαι, καὶ ταῦτα ... προελθοῦσα ... σὺν τῷ υἱῷ αὐτῆς Βαρωνιανῷ. **35** Γαλακτική : correxi compar. Zon. III 71,12 εἰς Ἄγκυραν τῆς Γαλατίας, cf. et Ecl. Hist. 301,3, Anon. Sath. 57,23 etc.

---

9 Πέρσαις ... μέντοι: cf. Zon. III 65,10 Στρατεύσας δὲ κατὰ Περσῶν πρότερον μὲν εὐτύχησε ... **10** εἶτα δείσας περὶ τοῖς πράγμασιν: cf. Zon. III 65,12—13 εἶτ' ἀθρόον τῶν πραγμάτων αὐτῷ εἰς τὸ χεῖρον περιτραπέντων ... **11—12** Περσῶν ... βάλλουσι: cf.

Campaigning against the Persians he came near Antioch which he at first saw with great admiration; after that he soon went away, when he saw the hatred of the Antiochians because of his beard. His attack on the Persians proved, however, to be successful at first, but later on he began to fear for his power and retreated. A number of Persians succeeded in following him. They confused the rear-guard and seeing that he got separated from the others they killed him after his ruling the empire during two years.

58 Jovianus. Julian having been killed in Persia, Jovianus is appointed emperor because of his piety and fairness. He did not aspire to the throne himself, but he was forced to it by the soldiers. To the question why he did not cherish that aspiration, he answered 'that he had no wish to be an emperor of pagans, only of Christians; and that he would prefer being leader of two orthodox people than of thousands and thousands of the godless' (you should know that Julian transferred all the citizens and the whole military force — a few excluded — from Christianity to paganism!). No sooner was this said than the crowd yelled as if by agreement: "we all are Christians and eager to follow your opinion!" On these conditions Jovianus accepted the crown. After that a meeting was held to decide whether to continue the war against the Persians or to retreat, and the latter proposition was adopted by all men, for they feared the attacks of the already superior Persians. Therefore peace was offered to them on very humiliating terms by ceding to them many tribes and cities which were tributary to the Romans. For they argued, that 'concentrating one's forces and struggling in case of a too risky situation would be audacity. In such a case, retreating would mean security. Only being brave where risks should be taken would be a sign of courage'.
Thus they ride home from Persia and they keep the emperor in the centre of the army in order to protect him. And he proceeded in a splendid way. At the other end his wife accompanied by their son leaves the city to meet him halfway having provided herself an imperial escort. Unfortunately, she did not arrive in time to see him. For when the emperor had come as far as Ancyra (this is a Galatian town) he ate a recently grown mushroom (he was moderate as far as his diet was concerned) and died immediately. It was not a question of his eating too much, but the mushroom turned out to be drugged. And with his death it was done with piety as well. He reigned one year and eight months.

Zon. III 66,18 ἀπιοῦσι δὲ ἐπιφανῆναι τοὺς Πέρσας ὄπισθεν καὶ τοὺς οὐραγοῦντας ταράττειν. **14** sqq. *vide comm.* **15** εὐσεβείας ... ἐπιεικὴς εἶναι: cf. Ecl. Hist. 300,24 – 301,1 τῷ τε εὐσεβὴς εἶναι ... καὶ ἐπιεικής, alio autem contextu. **21–22** ὥσπερ ἀπὸ συνθήματος ἀνεβόησαν: cf. Zon. III 70,9 ὡς ἐκ συνθήματος ἅπαντες ἀντεβόησαν (sic) **26** τιθέντες: *vide comm.* παραχωροῦσι κτλ.: cf. Zon. III 70,14–16 ἀλλὰ καὶ χωρῶν αὐτοῖς πολλῶν παρεχώρησε καὶ δικαίων Ῥωμαίοις ἀνηκόντων ἀνέκαθεν. **31–34** cf. Zon. III 71,15–18, *vide* et *app. crit.* **34–37** cf. Zon. III 71,8–10, vide et Anon. Sath. 57,23–25.

59 Οὐαλεντινιανός. Ὁ βασιλεὺς Οὐαλεντινιανὸς καὶ τῶν ἐν τέλει Ῥωμαίων καὶ τῶν ἁβρῶν καὶ τῶν εὐδαιμόνων καὶ τὴν μὲν χεῖρα περὶ τοὺς πολεμίους δραστήριος, τὴν γνώμην δὲ μισοπόνηρος καὶ δικαιοσύνης εἴπερ τινὸς ἄλλης ἀρετῆς ἀντεχόμενος. Ἔλεγε γοῦν ʽοἰκείαν ἀρετὴν τῷ βασιλεῖ τὴν δικαιοσύνην εἶναι, τῶν δὲ ἄλλων ἔλαττον αὐτῷ φροντιστέον· οὐ γὰρ ἐπιεικείᾳ τοσοῦτον οὐδὲ σωφροσύνῃ κατευθύνοιτο αὐτῷ τὰ πράγματα, ἀλλὰ δικαιοσύνῃ. Ταύτῃ δὲ τῇ ἀρετῇ καὶ ἡ κριτικὴ ἐπιστήμη ἕπεται, ἥτις ἐπιβολῇ κατορθοῦται φρονήσεως. Ἐξ ἀνάγκης γὰρ ὁ δικαιοσύνην ἀσκῶν παρακολουθοῦσαν ἔχει καὶ φρόνησιν'. Μέγας μὲν οὖν ἐγεγόνει ὁ βασιλεὺς οὗτος ἐν πᾶσι πράγμασι. Πολέμους γὰρ κατωρθώκει κατὰ βαρβάρων πολλοὺς καὶ πλεονεξίαν ἐκ μέσου πεποίηκε. Δύο δ' ἄν τις αὐτῷ ταῦτα κακίσειεν, ἓν μέν, ὅτι ἀμφίβολος τὴν εὐσέβειαν ἦν μὴ αὐτὸς πρεσβεύων τὴν ὀρθὴν δόξαν, ἀλλ' ἐφ' ἑτέροις ταύτην ποιούμενος, καὶ ἑαυτὸν καταιτιώμενος, ὅτι μὴ γινώσκοι μὴ μαθήματος μηδὲ εἰδείη περὶ μεγάλου φιλοσοφεῖν πράγματος· ἓν μὲν οὖν ἄν τις τοῦτο προσονειδίσειεν, ἕτερον δέ, ὅτι, δεῆσαν αὐτῷ κοινωνὸν τῆς βασιλείας λαβεῖν, οὐ τὸν κράτιστον ἐκ πάντων προσείληφεν, ἀλλὰ τὸν ἀδελφὸν Οὐάλεντα, ἄνδρα θεομισῆ καὶ τὴν ψυχὴν ὀργίλον καὶ τοὺς τρόπους κακοηθέστατον. Τούτῳ δὴ τῷ Οὐάλεντι τὴν ἑσπέραν πιστεύσας ὁ βασιλεὺς ἐθνῶν τινων ἐκεῖθεν ἐπαναστάντων αὐτῷ αὐτὸς τῆς ἑῴας εἴχετο λήξεως. Οὗτος ὁ βασιλεὺς τὴν πόλιν Καλχηδόνα καταστρεψάμενος (ἥτις καταντικρὺ τοῦ Βυζαντίου ἵδρυτο) τὸν μέγαν ἐντεῦθεν ἀγωγὸν κατεσκεύασε. Πρέσβευσι δὲ Σαυροματῶν χρηματίζων θυμῷ τε κατὰ τούτων κεκίνητο καὶ μέγα τι ἀσθμήνας καὶ βύθιον μίαν διέρρηξε τῶν περὶ τὸ στέρνον ἀρτηριῶν. Ἔνθεν τοι καὶ αἵματος πολλοῦ ῥυέντος ἐκεῖθεν μεταλλάττει τὸν βίον ἔτη ζήσας τρισκαίδεκα. Εἴωθε δὲ λέγειν ἀεί ʽοὐ χρὴ ἐπαμύνειν ἀνδρὶ πολεμοῦντι θεῷ'. Ἐπὶ τούτου Βασίλειος ὁ μέγας καὶ Γρηγόριος ὁ πάνυ ἀρετῇ καὶ γνώσει διέλαμπον.

269v **60** Οὐάλης. | Οὐκ ἀσεβὴς μόνον Οὐάλης ὁ βασιλεύς, ἀλλὰ καὶ θηρίου ἔχων ψυχήν. Οὐδὲν οὖν ἦν αὐτῷ, εἰ καὶ ἀνθρωπείων σαρκίων ἐμφοροῖτο καὶ ἡπάτων ἀπογεύοιτο κατὰ τῶν συῶν τοὺς θερμοτέρους. Μάλιστα δὲ Χριστιανῶν τῷ εὐσεβεστάτῳ μέρει ἀντέκειτο καὶ τούτων διώκτης ἦν βαρύτατός τε καὶ φρικωδέστατος, καινάς τινας ἐπινοῶν κατὰ τῶν

---

44 κατευθύνοιτο sic, ut videtur, ms., sed fortasse leg. κατευθύνοντο. Utique πράγματα in functione subiecti interpretanda sunt. Si lectio κατευθύνοντο sit correcta, oratio obliqua in verbo φροντιστέον terminatur. **52** μὴ γινώσκοι μὴ μαθήματος μηδὲ suspectum mihi videtur, *vide comm.* **57** ἐθνῶν τινῶν (eodem modo Ecl. Hist. 302,5) **59** Καρχηδόνα *vide comm.* **60** ἵδρυστο πρέσβευσι *vide* ad 34,9 **61** κατὰ τοῦτο

---

41 τὴν γνώμην κτλ.: cf. Zon. III 73,12 τὴν γνώμην ἦν δικαιότατος.

59 Valentinianus. The emperor Valentinianus belonged to the guiding, luxurious and fortunate ranks of the Romans. Nevertheless he was an energetic warrior against all enemies, and a man who hated wrong-doing and of all virtues most adhered to justice. He used, indeed, to say that 'justice was the most appropriate virtue for an emperor; it would suffice to pay less attention to the other virtues. In his opinion things should no more be ordered according to reasonableness or wisdom than according to justice. For in its wake followed jurisprudence, which is only to be realised by means of profound insight. As a consequence he who exercised justice must necessarily have the insight at his disposal as well'. At any rate this emperor was great in all his undertakings. For he won many wars against the barbarians and banished arrogance from his midst. One can criticise him on these two points: first, he was ambiguous in matters of faith, for, though not esteeming orthodoxy for himself, he demanded its furtherance from others, whereas at the same time he blamed himself for the fact that his scientific knowledge was deficient and that he thus could not discuss important matters.

This was one thing with which one can reproach him, the other was that at the moment he had need of a companion in the empire, he did not choose the best of all, but rather his brother Valens, a man who hated God, who was irascible, who had an abominable character. To this Valens he entrusted the western part. He, the emperor himself, took on the eastern part because a number of tribes there were in revolt. After destroying the town Chalcedon – this town is situated across from Byzantium – he had the great aquaduct in the latter city built.

On the occasion of an audience given to envoys of the Sauromates he grew so enraged that he gasped for breath and one of the inner arteries in his breast broke. Hence he died from a heavy haemorrhage after ruling thirteen years. He always used to say: "don't come to me to defend a man who wages war against God". During his empire flourished Basilius the Great and Gregory who was famous for his piety and wisdom.

60 Valens. The emperor Valens was not only a godless man, he also had the soul of a beast. So it was nothing to him to fill himself with human flesh or to take a taste of liver: as the most hot-blooded boars would do. He aimed sharply at the most pious among the Christians, and was their most fearsome and horrible persecutor, who invented some new methods of torturing the

---

42 ἔλεγε κτλ.: cf. Zon. III 73,14 τὸν κρατοῦντα λέγων ἀπαιτεῖσθαι δικαιοσύνης πρὸ τῶν ἄλλων φροντίζειν. **54** κοινωνὸν κτλ.: *vide comm.* **57–58** *vide comm.* **58–60** cf. Ecl. Hist. 302,21–23. **60–62** cf. Theoph. 61,25 – 62,2, Georg. Mon. 559,11 sqq., Ecl. Hist. 302,24–30, Cedr. I 547,1–10; *vide comm.* **64–65** οὐ χρὴ ... θεῷ: = Ecl. Hist. 303,2–3 ≋ Cedr. I 546,22–23 ≋ Glyk. 473,8, *vide* et *comm.* **65–66** cf. Ecl. Hist. 303,3 ἐπὶ αὐτοῦ ἐν Ἀθήναις Βασίλειος καὶ Γρηγόριος ἤκμαζον, ... , cf. et Cedr. I 546,13; 19–20 **68–69** *vide comm.*

ἀθλητῶν τοῦ Χριστοῦ τιμωρίας, ἃς οὔτε Μαξιμῖνος οὔτε Διοκλητιανὸς μετὰ ταῦτα καὶ Μαξιμιανός, οὔθ' ὁ ὑπερβαλλόμενος τῇ ὠμότητι τούτους Λικίνιος κατὰ τῶν ὑπὲρ τοῦ ἀληθοῦς λόγου μαρτυρησάντων εὐπορήκασιν ἢ ἐπενόησαν. Ἀλλ' ἐπὶ τούτων ἡ Δίκη οὐκ ἐπενύσταξεν, ἀλλὰ δικαίῳ θυμῷ ἐλήλυθεν ἐπ' αὐτόν. Τοῖς γὰρ Σκύθαις ἐπὶ τῆς ἑσπέρας μαχόμενος, οἵτινες τὴν Μαιῶτιν διαπλεύσαντες λίμνην ἐπὶ τὸ Θρᾳκῶν μέρος εἰσέφρησαν, ἡττᾶται κατὰ κράτος καὶ φυγῇ τὴν σωτηρίαν πιστεύσας εἴς τι καταφεύγει οἴκημα, ἔνθα ἀχύρου τι πλῆθος ἐπισεσώρευται. Περισχόντες δὲ τοῦτον οἱ βάρβαροι πῦρ τε ἔβαλλον καὶ ὑφῆψαν καὶ σὺν αὐτῷ οἰκίσκῳ καὶ συρφετῷ τὸν ἀλιτήριον τοῦτον ἄνδρα κατέκαυσαν, ἔτη τρισκαίδεκα βασιλεύσαντα καὶ τὴν Ἀρειανικὴν δόξαν πρεσβεύσαντα. Δυσπαραίτητος δὲ πρὸς ὀργὰς ὢν εἴθιστο λέγειν, ὡς ὁ ταχέως μεταθέμενος τὴν ὀργὴν ταχύτερον καὶ τῆς δικαιοσύνης μετάθοιτο. Καιναῖς δὲ βασάνοις κατὰ τῶν εὐσεβούντων χρώμενος καί γε νεώτερα κολαστηρίων εἴδη ἐπινοούμενος τοῦτο ποιεῖν ἔφασκεν, ἐπειδὴ τοῖς ἤδη εὑρεθεῖσι βασανιστηρίοις οἱ κολαζόμενοι γενναίως ἀντεκατέστησαν. Οὐαλεντινιανὸν δὲ τὸν ἀδελφὸν ἐπῄνει μὲν τῆς γενναιότητος καὶ τῶν κατὰ πόλεμον εὐτυχημάτων, ἀγνόημα δὲ ἀγνοῆσαι τοῦτον ἔλεγε μέγιστον τὴν Ἀρείου δόξαν, κτίσμα τὸν τοῦ μεγάλου πατρὸς λόγον σαφῶς ἀποφαίνουσαν. Ὑποφλεγόμενον δὲ τῷ παρὰ τῶν Σκυθῶν πυρὶ τοῦτό φασι τελευταῖον εἰπεῖν, ὅτι τὰς μὲν βαρβαρικὰς χεῖρας ἐκπέφευγεν, ἥττηται δὲ οὐ πάντα τὰ στοιχεῖα καὶ ὁ κόσμος αὐτὸς ἡττηθήσεται.

61 Γρατιανός. Γρατιανὸς υἱὸς μὲν βασιλέως Οὐαλεντινιανοῦ καὶ Οὐάλεντος ἀδελφιδοῦς. Οὔτε δὲ τὸν τῆς πατρῴας δικαιοσύνης χαρακτῆρα ἑαυτῷ διεσώσατο οὔτε τὴν Οὐάλεντος θρησκείαν ἐδόξασεν, ἀλλὰ τὴν μὲν περὶ τὸ θεῖον δόξαν ἀμφίβολος καὶ αὐτὸς ἦν, ἥττων δὲ πόνων καὶ καρτερίας. Ὅθεν Θεοδόσιον τὸν μέγαν ἐξ Ἱσπανίας μετακαλεσάμενος, εἶτα δὴ καὶ διάδημα περιθέμενος καὶ τὴν ἑσπέραν πιστεύσας ὑπὸ Σκυθῶν τότε ληιζομένην αὐτὸς ἐν Ῥώμῃ διέτριβεν. Ἀλλ' ὁ Βρετανὸς Μάξιμος ἐπιμανὴς Γρατιανῷ γεγονώς, ὅτι ἀνθείλετο τούτου εἰς τὴν ἀρχὴν Θεοδόσιον, εὐμηχάνως ἐπιβεβουλευκὼς ἀναιρεῖ, ἓξ ἔτη ἐπὶ τῆς βασιλείας διαγενόμενον. Ἦν δὲ τῶν μὲν ἄλλων, ὧν οἶδεν, ὁ πόλεμος ἐλάττων, ἠφίει δὲ βέλη κατὰ σκοπόν. Ἔλεγε δέ, ὡς οὐ περὶ πολλὰ δεῖ τὸν βασιλέα διαιρεῖσθαι καὶ πραγματεύεσθαι καὶ ἐφ' ἑκάστῳ ἐλαφρὸν φαίνεσθαι, ἀλλὰ περὶ ἓν τῶν ἐπαινουμένων καὶ ἐπὶ τούτῳ σφοδρόν.

---

74 εὐφορήκασιν **75** Δίκη littera capitalis in ms. **79** ἐπισώρευται prior iota macula deformata est **80** ἔβαλλον sic ms. Desideres ἔβαλον, sed *vide comm.* **84** κοιναῖς **85** καὶ γενεώτερα κολαστηρίων ἤδη **87** Οὐαλεντιανὸν **94** Οὐαλεντιανοῦ **3** Ἰσπανίας **6** γεγονός **10** ἓν scripsi : ὧν ms.

---

75 cf. Man. 2399 Ἀλλὰ γὰρ οὐκ ἐνύσταξεν ἐπὶ μακρὸν ἡ δίκη, ... quae verba autem a Manasse sunt dicta de Juliano Apostata: vide et Leo Diac. 91,13—14 de Nicephori Phocae

athletes of Christ, the likes of which neither Maximinus, nor after him Diocletianus with Maximianus, nor Licinius who surpassed even them in cruelty produced or contrived against the martyrs on behalf of the true word. Dike (= Justice), however, did not drop a sleep over these deeds, but fell upon him with righteous fury. He suffered a heavy defeat in the West against the Scythians who crossed the Maeotic Sea (= Sea of Azof ~ Black Sea) and invaded the land of the Thracians. Fleeing he sought refuge in a dwelling, in which a mass of straw had been stored up. The barbarians surrounded him, set the dwelling on fire and incinerated this sinful man together with the house and the rubbish. He had been emperor for thirteen years and favoured the Areian faith. Inexorable when mad, he used to say that 'he who soon gives up his wrath, gives up justice too soon'. His practising new tortures on the orthodox and inventing even more infernal torments, he defended by saying that 'the tortured already showed a brave resistance to the existing methods of torture'. He often praised his brother Valentinianus for his valour and his successes in war; he stated, on the other hand, that his greatest fault was his absolute ignorance of the Areian faith, which clearly proved that the Word is a creation of the great Father. His last words — according to tradition — were, as he began to be roasted by the fire of the Scythians, that 'he, indeed, had escaped the barbarian hand, but was done in by that which would put an end to all the elements, yea, to the universe itself'.

61 Gratianus. Gratianus was the son of emperor Valentinianus and a cousin of Valens. However, he preserved for himself neither his father's justice, nor did he hold the theological opinions of Valens, but he wavered in theological matters and was not able to deal with troubles or to persevere. Therefore he summoned from Spain Theodosius the Great, on whom he put the diadem and whom he trusted with the East, that now suffered plunder from the Scythians. He himself stayed in Rome. The Briton Maximus, however, was very angry with Gratianus because he had preferred Theodosius for the empire, and he killed him by an ingenious plot after he had been on the throne for six years. Of his abilities warfare was the least, but he was a master of archery. His device was, an emperor should not divide his attention and worry about too many things, failing in each of them, but should favour one thing and concentrate on that passionately.

---

percussoribus. **76–82** *vide comm.* **83–84** cf. Zon. III 82,2–4 ἦν γὰρ δυσπαραίτητος τὰς ὀργὰς ὁ Οὐάλης· ὅθεν καὶ ἔλεγεν ὡς „ὁ ταχὺ μεταθέμενος τῆς ὀργῆς καὶ τοῦ δικαίου ἂν μετάθοιτο τάχιστα". Vide etiam apud Zos. IV 23,5 ἀπειθοῦσι δὲ σφοδρὸς καὶ ἀπαραίτητος εἶναι δοκῶν ... **84–87** *vide comm.* **2** ἥττων δὲ –**5**: ~ Ecl. Hist. 304,3–6, cf. Zon. III 83,6–12 et 84,7–13 < Zos. IV 24,7, cf. Socr. *Hist. Eccl.* V 2 **5–8** ~ Ecl. Hist. 304,6 sqq. ~ Cedr. I 551,3 sqq., < Zos. IV 35,6 et 11,12. **8** ἠφίει κτλ.: cf. Ecl. Hist. 304,15–16 ≂ Cedr. I 551,10–12, ≂ Glyk. 474,10–12, ≂ Anon. Sath. 62,23–24.

62 Θεοδόσιος ὁ μέγας. Ἱσπανία πατρὶς τῷ μεγάλῳ Θεοδοσίῳ, πόλις ἡ κρατίστη τῆς ἑσπερίας Ἰβηρίας. Τούτῳ γυνὴ πρότερον συνῴκει Πλακίλα, ἐξ ἧς γεννᾷ Ἀρκάδιον καὶ Ὀνώριον, εἶτα θανάτῳ ταύτην ἀποβαλόμενος γαμεῖ Γάλλαν, Γρατιανοῦ ἀδελφήν. Κατὰ Σκυθῶν δὲ χωρήσας τοῦ ἔθνους ἐκράτησε. Μισοπονηρίαν δὲ εὐθὺς ἐνδειξάμενος Μάξιμον ἀνεῖλε τὸν Βρετανὸν τὸν Γρατιανὸν ἀποκτείναντα. Ἐπὶ τούτου ἡ δευτέρα σύνοδος ἐν Κωνσταντινουπόλει γέγονε καὶ καθαιρεῖται ὁ πνευματομάχος Μακεδόνιος, μεθ' οὗ Σαβέλλιος ἅμα καὶ Ἀπολινάριος ἐκκηρύττεται. Ἦρχε δὲ τῆς τοιαύτης συνόδου τῷ λόγῳ καὶ τῷ φρονήματι ὁ θεολόγος Γρηγόριος. [Τελευτῶν δὲ τὸν μὲν Ἀρκάδιον βασιλέα καθιστᾷ Κωνσταντινουπόλεως, τῆς δὲ ἑσπέρας ἁπάσης Ὀνώριον]. Τεσσαράκοντα δὲ ἔτη τῶν Ἀρειανῶν κατασχόντων τὰς ἐκκλησίας ὁ βασιλεὺς Θεοδόσιος ἅμα τῇ συνόδῳ τὸν μέγαν ἐπὶ θεολογίᾳ μετακαλεῖται Γρηγόριον καὶ τῆς ἐκκλησίας αὐτῷ Κωνσταντινουπόλεως ἐγχειρίζει τοὺς οἴακας, ὃς κυμαινομένην τὴν ἀληθῆ τοῦ θείου δόξαν παραλαβὼν λιμέσιν ἀκλύστοις ἐγκαθορμίζει. Καὶ λογικοῖς ὅπλοις τὰ μὲν ἀγχιμάχοις, τὰ δὲ καὶ πόρρωθεν ἅπαν τὸ τῶν αἱρετικῶν ἀποκρούεται θράσος καὶ γίνεται τῶν μὲν τεῖχος ὀχυρὸν καὶ χαράκωμα, τοῖς δὲ πέλεκυς κόπτων πέτραν, τοῖς δὲ πῦρ ἐν ἀκάνθαις, ὅ φησιν ἡ θεία γραφή. Ἀλλ' οὕτω μὲν ὁ θεῖος Γρηγόριος. Τῷ δέ γε βασιλεῖ Θεοδοσίῳ οὐ τοσοῦτον τὸ πρὸς τοὺς βαρβάρους ἦν, ὅσον τῷ ἰδίῳ θυμῷ ἀπομάχεσθαι. Ἔλεγε δέ, ὡς δεῖ τὸν βασιλέα ἀριστοκρατήσαντα πρῶτον ἐν τῇ ψυχῇ, εἶτα δὴ τῷ λόγῳ τελεώτατα μοναρχήσαντα, οὕτω καὶ τῶν ὑπηκόων ἄρχειν καὶ ἐπὶ τοὺς βαρβάρους χωρεῖν. Τελευτᾷ δὲ ἑκκαίδεκα ἔτη τὴν ἀρχὴν κατασχών, πολλοὺς μὲν πολέμους ἐπὶ τοὺς βαρβάρους κεκινηκώς, ἅπαντας δὲ πολλῷ τῷ περιόντι νενικηκὼς καὶ βασιλείας ἀρίστης παράδειγμα γεγονώς. ⟨Τελευτῶν δὲ τὸν μὲν Ἀρκάδιον βασιλέα καθιστᾷ Κωνσταντινουπόλεως, τῆς δὲ ἑσπέρας ἁπάσης Ὀνώριον⟩.

63 Ἀρκάδιος. Υἱὸς Θεοδοσίου τοῦ μεγάλου Ἀρκάδιος, ὡς ὁ λόγος φθάσας ἐδήλωσεν. Ἀλλ' οὗτος μὲν τῆς ἑῴας ἁπάσης εἶχε τὸ κράτος, Ὀνωρίῳ δὲ τῷ ἀδελφῷ ἡ πρεσβυτέρα Ῥώμη κεκληροδότηται. Οὐ πάνυ δὲ ἐχέφρων οὗτος ὁ βασιλεύς, ἀλλ' οὐδὲ τὴν πατρῴαν ἐζηλωκὼς ἀρετήν. Παῖδα δὲ τεκὼν Θεοδόσιον ἐπωνόμασε. Κυμαινομένης δὲ αὐτῷ ἐν τῷ τελευτᾶν τῆς ἀρχῆς ἐπίτροπον τῷ παιδὶ ⟨κατεστήσατο⟩ Ἰσδιγέρδην

12 Ἱσπανία littera I minio in margine scripta Θεοδωσίω **14** ἀποβαλλόμενος **17** δευτέρα : βτρ; in margine manu rec.: ἐν τοῖς χρόνοις αὐτοῦ ἡ βτρ σύνοδος ἐγεγόνει **21–22** Verba τελευτῶν ... Ὀνώριον quae qualibet causa dislocata in finem capitis (ad 46,37) transposui. Haec ibi per signa ⟨ ⟩ indicavi **25** αὐτοῦ **34** ἐπηκόων **37–38** Verba τελευτῶν ... Ὀνώριον e pag. 46, 21–22 huc transposui **44** κατεστήσατο complevi compar. Proc. I 2,7 ... ἐπίτροπον δὲ αὐτῷ κατεστήσατο Ἰσδιγέρδην τὸν Περσῶν βασιλέα Εἰσδιγέρδην vide autem Proc. I 2,7, Theoph. Conf. 80,11 necnon Zon. III 100,10

62 Theodosius the Great. Spain, the strongest town of western Iberia, was the home-town for Theodosius the Great. His first wife was Placilla, who bore him Arcadius and Honorius. Having lost her by death he married Gratianus' sister Galla. Advancing on the Scythians he vanquished this people, and he showed immediately his dislike of wickedness by killing Maximus the Briton, who had murdered Gratianus. Under his rule the second Synod took place in Constantinople [*marg.* in his years the 2nd synod took place] and Makedonios, the fighter against the (Holy) Ghost, was expelled. Together with him Sabellios and Apollinarios were excommunicated. The leader in speech and thought at this Synod was the (famous) theologian Gregory. After forty years of Areian impact on the churches, the emperor Theodosius together with the Synod called on the grand theologian Gregory and put him at the helm of the church of Constantinople; and he took over the ark, which was drifting in its struggle for the true faith, and anchored it safely in a sheltered harbour. With the weapons of logic used both in close battle and at a long distance, he repelled all the insolence of the heretics, and he became to some a strong wall or palisade, to others 'the axe that breaketh the rock', to still others 'the fire of thorns', as says the Holy Writ. Thus far about the godly Gregory. However, as far as the emperor Theodosius is concerned, he had less trouble fighting against the barbarians than against his own disposition. He used to say, the emperor's first concern should be acquiring perfect self-control, next, being a conscientious and accomplished monarch, and thus he should reign over his subjects and proceed against the enemies.
His death came after sixteen years of reign, in which he waged many wars against the barbarians, vanquished them all by his great superiority and became an example of excellent rule. When he died, he appointed Arcadius emperor of Constantinople, and Honorius emperor of the whole West.

63 Arcadius. As has been stated already, Arcadius was the son of Theodosius the Great. His power covered the whole East, ancient Rome being the inheritance of his brother Honorius. The ability of this emperor was anything but great, neither was he zealous to equal his father's excellence. He begot a boy whom he called Theodosius. The empire being in great agitation around the time of his death, he appointed the Persian king Isdigerdes guardian of

---

12 cf. Zon. III 83,9–10 ἡ δ' Ἱσπανία τῆς Εὐρωπαίας Ἰβηρίας ἐστὶ πόλις ἡ διαφορωτάτη τῶν ἐν αὐτῇ. Aliter Zon. II 176,19 sqq. **13–15** ≈ Ecl. Hist. 304,26–28 ≈ Cedr. I 552,13–15, qui scribunt Πλακίλλαν. Vide et Zos. IV 44,4 et Zon. III 87,3–7, qui autem Gallam non Gratiani sed Valentiniani senioris filiam appellat. Cf. et Theoph. 56,29, ubi ms. b scribit Πλακίλης, ms. c Πλακίδης. **15–16** ≈ Ecl. Hist. 304,28 **16–17** cf. Theoph. 70,27–29, Ecl. Hist. 304,29–31. **17–19** cf. Ecl. Hist. 304,31 – 305,1 et 305,4–5, Cedr. I 553,6–13, *vide comm.* **21–22** *vide comm.* **22** τεσσαράκοντα κτλ.: ≈ Ecl. Hist. 306,1–3, vide et Theoph. 69,4–7, Cedr. I 553, 16–18, necnon Anon. Sath. 64,10–12. **28** τεῖχος ὀχυρόν: Jer. 15,20. Ita corpus Sancti Symeonis τεῖχος καὶ ὀχύρωμα est dictum in Evagr. 23,10. **29** πέλεκυς κόπτων πέτραν: Jer. 23,29 πῦρ ἐν ἀκάνθαις: Psalm. 117,12.

τὸν Περσῶν βασιλέα διαθέμενος ἔγγραφον, τοῦτο μόνον τῶν πάντων ἄριστα βουλευσάμενος. Ὁ γάρ τοι Πέρσης θαυμάσας ἐπὶ τούτῳ [Ὀνώριον] κατασφαλίζεται τῷ παιδὶ Θεοδοσίῳ τὴν βασιλείαν Ῥωμαίων, ἀπειλήσας τὰ φρικωδέστατα, εἴ τις ἄλλο παρὰ τοῦτο βουλεύοιτο. Ἔνθεν τοι ἐπεπήγεσαν ξύμπαντες καὶ ὑπὸ Ἀρκαδίῳ βασιλεύεσθαι εἵλοντο. Οὗτος πολέμων μὲν ἠμέλει, περὶ δὲ τοὺς ἀριθμοὺς ἐπραγματεύετο, τοῦτο πολλάκις ἀναφθεγγόμενος | [270r] ὡς κορυφὴ πάντων μαθημάτων ὁ ἀριθμός. Τελευτᾷ δὲ δύο πρὸς τοῖς εἴκοσιν ἔτη βασιλεύσας.

64 Θεοδόσιος ὁ νέος. Υἱὸς μὲν Ἀρκαδίου ὁ Θεοδόσιος, καλλίων δὲ παρὰ πολὺ τοῦ πατρός, ὃς δὴ πρὸ τῶν ἄλλων τὸ τοῦ θείου Χρυσοστόμου σῶμα εἰς τὴν Κωνσταντινούπολιν μετακομίζει καὶ ἐν τῷ τῶν Ἀποστόλων νεῷ λαμπρῶς κατατίθησιν. Ἔπειτα ὅπως ἂν σπονδὰς θεῖτο πρὸς τὸν Περσῶν βασιλέα ἐπραγματεύετο. Ὁ δὲ οὐκ ἔφησε φιλιωθῆναι αὐτίκα τῷ βασιλεῖ, ἀλλὰ προὐβάλετό τινα τῶν μάλιστα Περσῶν, ἄνδρα γεννάδαν, εἰρηκὼς ὡς σπείσαιτο πρὸς Ῥωμαίους, εἴ τις αὐτῷ τῶν ἀντιθέτων μονομαχεῖν ἑλόμενος κατισχύσειε. Δέχεται τὴν πρόκλησιν Ἀρεόβινδος ὁ Ῥωμαῖος, ὃς τηνικαῦτα στρατηλάτης προὐβέβλητο καὶ αὐτίκα ἱππασάμενος τῷ Πέρσῃ ἀντικαθίσταται. Καὶ βάλλει καιρίαν καὶ στεφανηφόρος ἐπάνεισι, στοιχεῖ δὲ τοῖς ὡμολογημένοις ὁ Πέρσης καὶ τῷ βασιλεῖ συνθήκας ποιεῖται, καὶ τῶν Περσικῶν πολέμων ἀνακωχὴν ἡ βασιλεία Ῥωμαίων λαμβάνει. Ἀφειμένος οὖν φροντίδων ὁ Θεοδόσιος τὸν περίβολον αὐξάνει τῆς πόλεως, τῷ προγεγονότι δύο προσθεὶς ἕτερα διαστήματα. Εἶτα τί; Συμπίπτει αὐτῷ ὁ ἵππος ἐπὶ θήραν ἐλαύνοντι καὶ πληγεὶς τὰ καίρια μέρη τοῦ σώματος Μαρκιανῷ τινι ἀνδρὶ Ῥωμαίῳ πᾶσιν ἀγαθοῖς βρύοντι τὸ διάδημα περιτίθησιν. Ἐπὶ Θεοδοσίου τοῦ αὐτοκράτορος τὸ μέχρι τοῦ νῦν ᾀδόμενον ⟨τρισάγιον⟩ γίνεται· παιδίον ἄφνω μικρὸν εἰς οὐρανὸν αἴρεται καὶ ἐκεῖσε διδάσκεται μὴ προστιθέναι τῷ 'ἅγιος ὁ θεός' τὸ 'ὁ σταυρωθεὶς δι' ἡμᾶς', εἶτα δὴ μετὰ πολλὰς τὰς ὥρας καταβεβηκὸς μυσταγωγεῖ ὃ μεμύηται. Καὶ καταρτίζεται καὶ αὖθις αἶνος τῷ θεῷ οὐκ ἐκ θηλάζοντος μέν, οὔπω δὲ ἡβήσαντος. Τούτῳ τῷ βασιλεῖ περισσότερον τῆς γλώσσης τὸ φρόνημα, ὅθεν τὰ πολλὰ τῶν βουλευμάτων ὀλίγοις ἐφθέγγετο ῥήμασι προστιθεὶς 'μὴ τῶν λαλούντων δεῖν εἶναι τὸν βασιλέα, ἀλλὰ τῶν φρονούντων'.

65 Μαρκιανός. Οὗτος ἱεροπρεπὴς ἀναδείκνυται αὐτοκράτωρ, ὃς ἅμα

46–47 ἐπὶ τούτω Ὀνώριον κατασφαλίζεται. Ὀνώριον ut glossam delevi. Locus noster similitudinem monstrat Procopii (I 2,10) Theophanisque historiae (80,15–19) **47** Θεοδωσίω **56** θήτω **57** ἐπεπραγματεύετο, *vide comm.* **58** προὐβάλλετο : emendavi compar. Ecl. Hist. 309,15, quamquam idem scripsit 309,11 γεννάδα **63** ὁμολογημένοις **68** καιρία **70** τρισάγιον supplevi, *vide comm.* Cf. Ecl. Hist. 310,11 μὴ προστιθέναι ἐν τῷ τρισαγίῳ ὁ σταυρωθεὶς δι' ἡμᾶς, ὃ καὶ μέχρι τοῦ νῦν ᾄδεται

his son by testament, the only really prudent thing he ever did. As a matter of fact the Persian wondered at this will but secured the Roman empire for young Theodosius by holding out the most horrible threats to anybody plotting against it. In consequence nobody made a move and all preferred to remain under Arcadius' rule. He did not much care about warfare, but he was very busy with numerals (= cabbalism), as appears from his frequently saying that the numeral is the summit of all learning. He died after a reign of twenty-two years.

64 Theodosius the younger. Theodosius being Arcadius' son surpassed by far his father. The translation of the body of the godly Chrysostom to Constantinople and its solemn interment in the Apostles' church was his first deed. Next he busied himself with the problem of how to conclude an armistice with the Persian king. The latter however, declined a direct reconciliation with the emperor. He put forward one of the very best Persians, a brave man, and announced a truce with the Romans, if one of the adversaries would fight him in single combat and win. The challenge was taken by the Roman Areobindus, being at this moment proposed as a general, who immediately vaulted into the saddle and opposed the Persian. He inflicted a deadly blow and returned victorious. The Persian king accepted the consequences of the agreement and concluded a truce with the emperor, and thus the Roman empire won some respite from the Persian wars. Freed from troubles Theodosius augmented the territory of the capital, adding twice as much as the original area. Afterwards it came to pass that during a hunt his horse fell upon him, and being kicked in the vital parts he put the diadem on a certain Marcianus, a Roman, who was bursting with all virtues.
Under the emperor Theodosius the 'trishagion' (= trice-holy (-song)) was introduced, which continues to be sung until this day: a small boy was suddenly taken up to heaven and instructed there that *he, who was crucified for us* ought not to be added to *holy is God*; many hours later the boy descended again from heaven and revealed the mystery into which he had been initiated. And thus was the praise of God correctly restored by one who was a suckling no more, nor yet full grown. For this emperor, thinking outreached talking. Hence he accompanied most of his plans with a minimum of words, to which he added 'the emperor should not join the talkers but the thinkers'.

65 Marcianus. He proved himself a god-fearing emperor. As soon as he

---

54–56 cf. Socr. *Hist. Eccl.* VII 45, Theoph. 92,37 sqq., Ecl. eccl. hist. = Cramer 100,26 sqq., Cedr. I 599,15–18, Zon. III 106,4–10 **57–65** *vide comm.* **66** δύο προσθεὶς ἕτερα διαστήματα: = Georg. Mon. 604,12 sqq., Ecl. Hist. 309,23 προσθεὶς ἄλλα διαστήματα δύο, differente ceterum contextu. **67–69** cf. Ecl. Hist. 309,25–32 = Cedr. I 602,8–15. **69–74** *vide comm.* **73–74** cf. Psalm. 8,3, Matth. 21,16 ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. **78** ἱεροπρεπής: = Ecl. Hist. 311,4 **78–83** *vide comm.*

τῷ βασιλεῦσαι κατὰ Εὐτυχοῦς καὶ Διοσκόρου καὶ Νεστορίου σύνοδον ἐν Χαλκηδόνι ποιεῖται, ὧν οἱ μὲν περὶ Νεστόριον οὐ κατ' οὐσίαν ἑνοῦσι τῷ ἀνθρώπῳ τὸν κύριον, ἀλλὰ κατὰ σχέσιν, οἱ δὲ περὶ Εὐτυχῆ τὴν σάρκα τούτῳ φαντάζουσι, καὶ ἐκκηρύττει τῆς ἐκκλησίας. Ἦν δὲ αὕτη ἡ σύνοδος ἀπὸ τῆς κατὰ Ἀρείου τετάρτη. Τούτῳ τῷ βασιλεῖ πρὸ τῆς ἀρχῆς ἀετὸς τῆς κεφαλῆς καταπτὰς περιεῖπε ταῖς πτέρυξιν ἁλώσιμον τοῖς βαρβάροις γεγενημένον πρὸ τῆς αὐτοῦ ἀναρρήσεως. Πολέμους δὲ πολλοὺς ὑπὲρ Ῥωμαίων ἀράμενος ἐπὶ πᾶσι τροπαιοφόρος ἀνελήλυθε. Πέντε δὲ μῆνας πρὸς ἐνιαυτοῖς ἓξ τῇ βασιλείᾳ ἐπιβιοὺς ἐτελεύτησε, πρεσβύτης μὲν καὶ πλήρης ἡμερῶν, ἄρτιος δὲ τὸ σῶμα καὶ τὴν γνώμην ἐπιεικής. Τοῦτον δὲ τὸν λόγον ἐπιχειλῆ εἶχεν ἀεί· 'μὴ δεῖν βασιλέα, ἕως ἔξεστι, πολεμεῖν, ἀλλ' εἰρηνεύειν ἀεί'.

66 Λέων ὁ Μακέλλης. Εἰ καὶ τὴν τύχην οὐκ ἐπίσημος Λέων ὁ βασιλεύς, ἀλλὰ τὴν γνώμην ὑπέρλαμπρος, κατὰ μικρὸν δὲ ταῖς Ῥωμαϊκαῖς ἐπαυξάνων ἀρχαῖς ἀπό τινος προφάσεως εὐτυχοῦς τέλος Μαρκιανοῦ τελευτήσαντος προσήκων τῇ βασιλείᾳ ὑπὲρ πάντας ἔδοξε· καὶ γεννᾷ μὲν εὐθὺς Ζήνωνα, ὁ δὲ Ζήνων Λέοντα τῷ πάππῳ ὁμώνυμον. Προσέκειτο δὲ μᾶλλον ὁ βασιλεὺς Λέων τῷ ἐγγόνῳ ἢ τῷ παιδί. Ὁ γὰρ υἱὸς Ζήνων οὔτε τὸ εἶδος εἶχε τυραννίδος ἄξιον οὔτε τὴν γνώμην πρέπουσαν βασιλεῖ. Ὅθεν πρὸς τῇ τελευτῇ γενόμενος τὸν παῖδα παραβλεψάμενος τὸν ἔγγονον βασιλέα καθίστησιν. Ἐξαίρετος δὲ τῷ βασιλεῖ Λέοντι ἀρετὴ ἡ φιλανθρωπία· οὐδένα γοῦν τῶν κατακρίτων ἰδὼν οὐκ ἠλέησε, τοῦτο εἰωθὼς λέγειν, ὡς οὔτε ἥλιος ἀλαμπῆ ἐᾷ ὃν βάλλει καθαραῖς ταῖς ἀκτῖσιν, οὔτε βασιλεὺς ἀνοίκτιστον ὃν ἴδοι τοῖς ὄμμασιν, εἴ γε τὸ βασιλέως τηροίη ἀξίωμα. Ἔτη δὲ ἐν τῇ βασιλείᾳ βιώσας ιη΄ τελευτᾷ.

67 Λέων ὁ μικρός. Οὐ κατὰ τὰς ἐλπίδας τοῦ μεγάλου αὐτοκράτορος Λέοντος ὁ μικρὸς Λέων ὁ ἔγγονος αὐτοῦ τῇ βασιλείᾳ διήρκεσεν, ἀλλὰ τὴν μὲν ἰδέαν τοῦ πάππου διέσῳζεν, οὔπω δὲ κατ' ἐκεῖνον ἐπεφύκει πρὸς μῆκος ζωῆς, ἀλλ' ἕνα χρόνον βιοὺς ἐν τῇ ἀρχῇ τελευτᾷ. Τέως δὲ πρὸς τῷ τέλει γενόμενος τῆς ζωῆς καὶ ἀμφίβολος ὢν τίνα τῶν πάντων τῇ βασιλείᾳ ἐγκαθιδρῦσαι, ἐπειδὴ τὸν πατέρα ᾔδει Ζήνωνα τῷ πάππῳ ἀπεωσμένον καὶ ἄλλων ἄλλους παρεισαγόντων, τέλος ἐπικλινὴς τῷ φύσαντι γίνεται καὶ ταῖς [ἐν] χερσὶν αὐτὸς ἑαυτοῦ λαβὼν τὸ διάδημα τῇ κεφαλῇ τοῦ

---

82 Nisi auctor φαντάζω usus est cum significatione *specie modo existentem interpretari* (cf. notas ad 82) adiectivum intercidisse puto, e. g. οἱ δὲ περὶ Εὐτυχῆ ⟨ἑτεροούσιον⟩ τὴν σάρκα τούτῳ φαντάζουσι, cf. Zon. III 115, 16–17. **84–85** ἁλώσιμος … γεγενημένος **89** ἐπὶ χείλη, *vide comm.* **16** ταῖς ἐν χερσίν: delevi ἐν , sed Zonara comparato praepositionem ἐν loco pronominis ἑαυτοῦ in originali positam esse putaveris

---

79 κατὰ … Νεστορίου: = Ecl. Hist. 311,12 = Cedr. I 604,18 **82** φαντάζουσι: cf. Ecl. Hist. 311,15 = Cedr. I 604,21–22 **86–87** πέντε … ἐνιαυτοῖς: cf. Ecl. Hist. 311,2 ἔτη ἓξ καὶ μῆνας πέντε **87–88** πρεσβύτης μὲν καὶ πλήρης ἡμερῶν: cf. Ecl. Hist. 311,3 πρεσβύτης τὴν ἡλικίαν, Zon. III 121,8 πρεσβύτης γενόμενος καὶ ζήσας ἐπὶ μακρόν.

became ruler, he convened a synod at Chalcedon against Eutyches, Dioskoros and Nestorios. Nestorios and his adherents argue that consubstantiality of the Lord with man has no reality, but is only a fiction; Eutyches and his followers label His appearance in the flesh a fantasy. Marcianus had them all banished from the church. This synod was the fourth after the one against Arius.
Once he was not yet emperor an eagle alighted upon his head to shade him, when he was taken prisoner by the barbarians before his proclamation. He waged many wars for the cause of the Romans and returned victorious from them all. He lived six years and five months in office and died, being old and at the end of his days, but sound of body and fair of mind. This saying was constantly on his lips: 'an emperor should as long as possible avoid waging war, but should always keep peace'.

66 Leo the Butcher (Makelles). Though of humble birth the emperor Leo demonstrated a brilliant intelligence. He gradually rose to increasingly important functions and finally, after Marcianus' death, he seemed for some felicitous reason the most suited to the imperial task. At once he begot Zeno, and Zeno begot Leo, named after his grandfather. The emperor Leo, however, felt more attachment to his grandson than to his son. For his son Zeno had anything but royal appearance or an imperial character. Therefore he passed over his son when he died, and appointed his grandson emperor. Emperor Leo's extraordinary virtue was his humanity. To whomever he saw condemned he showed his compassion, as he used to say that just as the sun sets in full light everybody it touches by its clear rays, thus the emperor ought to pity everyone he saw with his eyes, if he observed, indeed, the imperial dignity.

67 Leo the younger. The expectations of the great emperor Leo were not fulfilled by his grandson the younger Leo, who proved insufficiently competent for the empire, though he tried to maintain his grandfather's image. Besides, his grandfather had not lived long enough to see him full-grown, and he himself died after ruling only one year. Feeling the end of his life approaching he was in doubt as to whom of all people he should put upon the throne, for he knew that his father Zeno had been rejected by his grandfather. But being all the time confronted with different recommendations, he finally inclined to his father and, taking with his own hands the

---

89–90 μὴ … εἰρηνεύειν ἀεί: cf. Zon. III 121,10 … ἔλεγε μὴ δεῖν ὅπλα βασιλέα κινεῖν, ἕως εἰρηνεύειν ἐξόν. Vide et Psellum *Mich. VII*, XVII 8 ἢ εἰρηνεύειν τοῖς ἐναντίοις ἢ μάχεσθαι (ed. Aerts BSlav. XLI (1980) p. XXIV). **95** τῷ πάππῳ ὁμώνυμον: ≂ Man. 2942 ὁμώνυμος τῷ πάππῳ **1** cf. Zon. III 126,14–16 **2–4** cf. Glyk. 490,7–8 τὸν γὰρ ἐπὶ θυγατρὶ αὐτοῦ Ἀριάδνῃ γαμβρὸν Ζήνωνα παριδὼν ὁ Μέγας Λέων τῷ ἐγγόνῳ αὐτοῦ τὰ τῆς βασιλείας ἐνεχείρισε σκῆπτρα, Man. 2944–45 καὶ παριδὼν τὸν Ζήνωνα καὶ φίλτρον θυγατρίου, χειρίζει τῷ θυγατριδῷ τῆς βασιλείας σκῆπτρα. **4–7** cf. Zon. III 127,15–19. *Vide* et *comm.* **16** ταῖς [ἐν] χερσὶν κτλ.: ≈ Zon. III 128,3–4 αὐτὸς ταῖς ἑαυτοῦ χερσὶ τῇ ἐκείνου κεφαλῇ περιθεὶς τὸ διάδημα.

πατρὸς ἐναρμόζει, τοσοῦτον εἰρηκώς, ὅτι 'μοι δεκάζειν τὴν κρίσιν ἡ φύσις δέδωκε· καλλίων γὰρ πατὴρ ἄχαρις μυρίων ἀλλοτρίων ἐν ὥρᾳ καθεστηκότων.'

68 Ζήνων. Ζήνωνι οὐχ ἡ ὄψις μόνη κακή, ἀλλὰ καὶ ἡ ψυχὴ πονηρά. Πατρὸς γὰρ ἀποτεχθεὶς εὐσεβοῦς καὶ δέον τοῖς εὐσεβέσι καταριθμεῖσθαι αὐτὸς τῆς τῶν ἀκεφάλων ἐγεγόνει αἱρέσεως. Ἀριάδνην δὲ γήμας ἀγαθὴν τὴν ὄψιν οὐ μόνον οὐδὲν ἐκείνης ἀπώνατο, ἀλλὰ καὶ ἀτυχέστατος ἐκεῖθεν πάντων ἐγεγόνει βασιλέων. Αὕτη γὰρ ἅπαξ ἰδοῦσα τὸν δίκορον Ἀναστάσιον λογιώτατον ἄνδρα καὶ τοῖς ἐν τέλει κατηριθμημένον τήν τε ὄψιν ἀκριβῶς διαλάμποντα, κατ' ἄκρας ἑαλώκει τἀνδρός. Καὶ ἐπειδὴ ὁ Ζήνων γαστρὸς ἥττητο καὶ φιλοποσίας καὶ πολλάκις τοὺς λογισμοὺς μεθύων ἀπώλλυε καὶ ἐῴκει νεκρῷ, ἅπαξ τοῦτο γενόμενον τῷ τάφῳ καταχωννύει ζῶντα. Ὁ δὲ ἀνανήψας φωνὰς μὲν ἠφίει καὶ ὠλοφύρετο, ἤνυε δὲ οὐδέν, ἀλλ' οὗ κέχωστο κακῶς ἀπεβίω.

69 Ἀναστάσιος ὁ δίκορος. Δίκορος ὁ βασιλεὺς ὠνόμασται Ἀναστάσιος, ὅτι διχρώους εἶχε τοὺς ὀφθαλμούς· ὁ μὲν γὰρ δεξιὸς αὐτοῦ ὀφθαλμὸς ἐμελαίνετο, ὑπόγλαυκος δὲ ὁ ἀριστερός. Οὕτως ἐκ φύσεως γεγονὼς ἦν καὶ τὰ μὲν εἰς λόγους τὰ πρῶτα λογίων, τὰ δὲ εἰς τρόπους οὐδενὸς τῶν πονηρῶν δεύτερος. Θεμέλιος δὲ αὐτῷ τῆς κακοηθείας | [270v] ἡ δυσσέβεια. Εἰς γὰρ τὴν αἵρεσιν ἀφίκετο Σεβήρου καὶ τὰ ἐκείνου ἐπρέσβευεν. Ἐπὶ τούτου Πρόκλος ὁ μέγας ἤνθει φιλόσοφος, ὃν ἐγὼ μετά γε Πλάτωνα τίθημι, ἀνὴρ Συριανοῦ μὲν μαθητὴς τοῦ σοφοῦ, ὑπερβαλὼν δὲ μακρῷ τὸν διδάσκαλον καὶ τὴν ἑλληνικὴν σοφίαν τῷ ἑαυτοῦ τέλει συμπερανάμενος. Οὗτος ἀναγνοὺς πάντα τὰ Ἀρχιμήδεια, πολλὰ δὲ καὶ αὐτὸς προσεφευρών, ὧν ἐκεῖνος ἠγνόησε, κάτοπτρα χαλκεύσας πυρφόρα τῶν τειχῶν ἀπῃώρησε καὶ πῦρ ἐκεῖθεν κατὰ τῶν πολιορκούντων τὴν πόλιν βαρβάρων ἐξεκεραύνωσε. Τοσοῦτον δὲ τὸ περιὸν τῆς ἀσεβείας τῷ βασιλεῖ, ὅτι καὶ αὖθις τὸ 'ὁ σταυρωθεὶς δι' ἡμᾶς' τῷ 'ἅγιος ἀθάνατος' ἀνενεώσατο. Ἐφ' ᾧ τῶν εὐσεβῶν ἡ πληθὺς στασιάσαντες μικροῦ δεῖν ταῖς χερσὶ τοῦτον διέσπασαν. Ὁ δὲ δείσας περὶ τῷ θανεῖν, ἀποδύεται μὲν αὐτίκα πρὸς βραχὺ τὴν ἀσέβειαν, αὖθις δὲ ἐπενδύεται. Πολέμους δὲ πολλοὺς ὑπὲρ Ῥωμαίων ἀνείλετο καὶ στεφανηφορίας εὐτύχηκε. Πρὸς δὲ τὰς τῶν πραγμάτων τύχας μεταβαλλόμενος ἔλεγε 'μὴ δεῖν εἶναι τὸν βασιλέα τοῦ οὐρανοῦ κρείττονα, ὃς νῦν μὲν συννεφὴς γίνεται, αὖθις δὲ διαυγής'. Τούτῳ ἐξεκόπησαν μὲν τὰ ἔτη διὰ δυσσέβειαν, κεραυνὸς δὲ βαλὼν ἀφείλετο τὴν ζωήν, ἔτη ἐπὶ τῆς βασιλείας πρὸς τοῖς τρισὶ δέκα διαβιώσαντα.

---

20 Ζήνωνι : Ζῆν (= Ζήνων) **29** ὀλοφύρετο **31** Δίκορος[2] : Νίκορος, N manu miniatoris in margine **33** γεγονὼς ἦν καὶ τὰ μὲν : γεγονότι κατὰ μὲν *vide comm.* **45** χερσὶν (?), τ vocis τοῦτον cum ν confuso

---

20 cf. Zon. III 128,5–6 ἦν δὲ ὁ Ζήνων ... αἴσχιστος ... καὶ τὴν μορφὴν καὶ τὴν ψυχὴν γεγονώς, ... *Vide* et *comm.* **25–29** cf. Zon. III 132,9–17. *Vide* et *comm.* **35** κακοηθείας: eodem usus est vocabulo Man. 3015 καὶ πᾶσαν κακοήθειαν ἐξήνεγκεν εἰς μέσον.

diadem, he put it upon his father's head, saying only: "nature led me to take a biased decision: better an unwelcome father than thousands of random strangers".

68 Zeno. Not only Zeno's appearance was horrible, but he had also an evil soul. Though the son of an orthodox father and obliged to side with the orthodox, he joined the heresy of the 'acephals'. He married the beautiful Ariadne but she brought him no pleasure. On the contrary, she made him the unhappiest of all emperors. For no sooner had she seen Anastasios, a man with two differently coloured eyes, very erudite, belonging to the gentle ranks and really handsome, than she was absolutely fascinated by the man. And because Zeno was the slave of his belly and a dipsomaniac, and often got drunk out of his mind so that he resembled a corpse, she had him buried alive once, when he was in this condition. Sober again he cried and wailed, but in vain, and he died wretchedly where he was buried.

69 Bipupilled Anastasios. The emperor Anastasios was named 'bipupilled', because of his differently coloured eyes. For his right eye was dark, his left light blue. Having this physical peculiarity he belonged among the most erudite as to education; as to character, his wickedness was unsurpassed. And this malignity was founded on his unorthodoxy. He joined the Severian heresy and favoured its case. Under his rule flourished the great Proclus, a philosopher whom I consider second after Plato. He was a pupil of the wise Syrianos, but he exceeded his teacher by far and he raised Greek wisdom to his own standard. He studied all the works of Archimedes, but invented many things that had remained unknown to Archimedes. Thus he had fire-bearing mirrors of bronze placed upon the walls; from there he fired thunderbolts upon the barbarians who besieged the city.
The emperor showed such an excess of godlessness that he again added *He, who was crucified for us* to the *Holy, Eternal.* Therefore the masses of the orthodox rose up against him and had him very nearly lynched. Afraid to die he immediately laid his godlessness down for a while, resuming it, however, shortly after. He waged many wars in defence of the Romans and luckily proved victorious. About his yielding to the vicissitudes of fortune he used to say 'an emperor should not consider himself better than heaven, which now appears clouded, then again bright'. His years were shortened beause of his unorthodoxy and he was stricken to death by the thunderbolt after a thirteen years' life in office.

36–37 ἐπὶ τούτου ... ἤνθει φιλόσοφος: cf. Zon. III 138,2 τότε γὰρ ἤνθει ἐπὶ φιλοσοφίᾳ (sc. ὁ Πρόκλος). *Vide* et *comm.* 36–43. **39–41** οὗτος ... ἠγνόησε: cf. Zon. III 138,3–4 **41** κάτοπτρα –**43** ἐξεκεραύνωσε: ≈ Zon. III 138,5–9. Vide et Zon. II 210,6 sqq. de Archimedis machinationibus. **50–51** *vide comm.*

70 Ἰουστῖνος ὁ Θρᾷξ ὁ μέγας. Οὗτος τὴν εὐσεβῆ δόξαν ἐπρέσβευε καὶ πανηγύρεις θεοπρεπεῖς τῷ καθ' ἡμᾶς βίῳ εἰσήνεγκε. Καὶ πολέμους κατὰ βαρβάρων νενίκηκεν, ἀλλὰ τὰ δεινότατα πάντων ἐπὶ τῆς τούτου βασιλείας κεκαινοτόμηται. Ἐκινήθη γὰρ μικροῦ δεῖν ἐπ' αὐτοῦ ἡ σύμπασα γῆ, ἡ δὲ περικαλλὴς Ἀντιόχεια τάφος ἄντικρυς τῶν οἰκητόρων ἐγένετο. Ἀλλὰ καὶ ἐν Ἅιδου γεγονότες οἱ συγχωσθέντες οἰκτροτάτας φωνὰς ἠφίεσαν. Καὶ γυνὴ δέ τις ἐπὶ τῆς τούτου ἀρχῆς ὑπερμεγέθης τὸ σῶμα ὤπτο, ὡς ὑπερβάλλειν ἐπὶ τῷ ὕψει τοὺς θρυλουμένους Γίγαντας. Καὶ λιθίνη δὲ πλὰξ ἱερογλυφικὰ γράμματα ἐγκεκολαμμένα ἐν αὐτῇ ἔχουσα ἀνεδόθη τοῦ Σκιρτοῦ ποταμοῦ· ἐγέγραπτο δὲ 'Σκιρτὸς ποταμὸς σκιρτήσει κακὰ σκιρτήματα πολίταις'. Τελευτᾷ δὲ δυστυχῶς, ἔτη ἐννέα ἐπιβιοὺς τῇ ἀρχῇ.

71 Ἰουστινιανός. Ἰουστινιανὸς ὁ βασιλεὺς παντοδαπῶν χρῆμα πράξεων ἐναντίων, καλῶν τέ φημι καὶ κακῶν. Τὰ μὲν οὖν ἀγαθὰ τούτῳ· ἐξῳκοδόμησε ναὸν τῇ τοῦ θεοῦ σοφίᾳ οἷον οὐκ ἄλλος τῶν πρὸ αὐτοῦ αὐτοκρατόρων οὔτε τῶν μετ' αὐτόν· ἐνομοθέτησε περὶ τῶν πρακτέων· πόλεις ἀνέστησεν ὀχυράς, τὰς δὲ καὶ οὔσας ἐτείχισεν· ὁδοὺς πρὸς τοὺς βαρβάρους ἐτέμετο εὐπετεῖς· τοὺς πρώτους τῶν κατ' ἐκεῖνο καιροῦ λογίων περὶ αὐτὸν ἐποιήσατο· ἐστρατήγησε κατὰ τῶν ἐναντίων, πολλάκις τρόπαια ἀπὸ τῶν νενικημένων ἐστήσατο· Σευῆρον τὸν ἀκέφαλον τῆς ἐκκλησίας ἀπήλασε, σύνοδον ἐν Κωνσταντινουπόλει ὥσπερ εἰκὸς ποιησάμενος. Τὰ μὲν οὖν ἐπαινούμενα αὐτοῦ ταῦτα, τὰ δ' ἐναντία· καινῶν τιμωριῶν ἐγεγόνει ἐφευρέτης· τοῖς γὰρ τῶν ἀτόπων τι πεποιηκόσι καὶ μάλιστα τοῖς ἀρρενομανέσιν ἀναφανδὸν τὰ αἰδοῖα μαχαίρᾳ διέτεμεν ἢ κάλαμον ἀποξύνας εἰς τὸν τῆς αἰδοῦς πόρον ἐνέβαλεν. Ἐν ἱπποδρομίᾳ ποτὲ τῶν καταντικρὺ τῆς βασιλικῆς καθέδρας στασιασάντων, τότε μὲν ὑπεξήγαγεν ἑαυτὸν τοῦ θεάτρου, εἶτ' αὖθις κηρύξας τὰ ἱππηλάσια, ἐπειδὴ τὸ πλῆθος εἶδε συνειλεγμένον, προστάττει τοῖς ξιφηφόροις ξύμπαντας ἀνελεῖν. Τὸ δὲ κεφάλαιον τῶν κακῶν, ὅτι τῆς ἐκκλησίας εἰρηνευούσης τὸ περὶ φθαρτοῦ καὶ ἀφθάρτου δόγμα ἐκίνησε. Καὶ δέον τοῖς λογιωτέροις καὶ εὐσεβεστέροις προσθέσθαι, ἑαυτῷ πιστεύσας τοῦ δόγματος τὴν διαφορὰν ἄφθαρτον τὸ τοῦ κυρίου σῶμα ἐξ αὐτῆς ἑνώσεως ἀπεφήνατο καὶ τῷ δόγματι ἔθετο, ἐφ' ᾧ μὴ γνωσιμαχήσας μετήλλαξε τὴν ζωὴν τὸν ἀδελφιδοῦν Ἰουστῖνον ἀξιώσας τοῦ διαδήματος, χρόνους βασιλεύσας ἐννέα πρὸς τοῖς τριάκοντα. Τὰ δὲ περὶ τὴν γυναικωνῖτιν νενοσηκότι τούτῳ καὶ βλάσφημα. Ἐπὶ

53 Θρὰξ **58** συχωσθέντες **61** ἐγκεκολλαμμένα , primo λ suprascripto **65** Ἰουστινιανὸς² : Ἰουστιανὸς **72** Σευῆρον : orthographiam non mutavi, licet scriba scripserit Σεβήρου in 52,36, comparato Zon. III 166,10 etc. et Ecl. Hist. 321,16, 316,26 (Σευῆρος) contra ibidem 316,12 (Σεβήρῳ) **73** σύνοδον : Cύνοδον, littera capitali C minio scripta post spatium **77** τοῦ αἰδοῦς **83** προσθεῖναι : correxit Kambylis, compar. 74,55

70 The Thracian Justin the elder. He favoured the orthodox faith and he introduced religious festivals that grace our life. He vanquished the barbarians at war, but during his rule some unprecedented catastrophes took place. Nearly the whole world suffered earthquakes in his time and beautiful Antioch was reduced to a tomb for his inhabitants. But even from the underworld the buried sent up their piteous voices. Under his reign there was also a gigantic woman to be seen, whose height even surpassed that of the famous giants. There appeared also from the river Skirtos (= Leaper) a stone tablet bearing hieroglyphic letters. The writing said 'This river Leaper will leap some bad leaps for the citizens'.
He died in an unlucky manner after nine years of reign.

71 Justinian. The emperor Justinian was exceptional in all sorts of opposite things, i. e. good and bad things. To his credit: he built a church for the Wisdom of God, such as no other emperor before or after him achieved. He enacted practical laws, he founded strong cities or provided existing ones with walls, he constructed shorter and better roads to the barbarian lands and he surrounded himself with the best scholars of his age. Advancing upon his adversaries he often had the opportunity to erect trophies at the expense of the defeated. He expelled Severus the Acephal from the church by convening a synod at Constantinople, of course. That is what he should be praised for, now the opposite: he invented yet unknown forms of punishment. For those who had committed disgusting sins, especially male homoerotics, he had their pudenda cut off in public with a knife or had sharpened reeds put in their openings. Once, when people in the hippodrome just opposite the imperial box were rioting, he withdrew at that moment from the theatre. Later, he announced new horseraces, and seeing the public gathered he ordered his guardsmen to kill them all. The apex of his outrages was, however, that he in a situation of ecclesiastical peace caused disturbance of the dogma on corruptibility and incorruptibility. And whereas he should have listened to more competent and orthodox people, he obstinately formulated, contrary to the dogma, that the Lord's body was incorruptible from the time of conception and without changing his mind about the theory he had adopted, he quitted life having conferred the diadem on his nephew Justin. He reigned thirty-nine years. No less blasphemous was his sickly submissiveness to

---

53 Ἰουστῖνος ὁ Θρᾷξ ὁ μέγας: eadem connectio in Ecl. Hist. 318,18. **56–59** *vide comm.* **59–60** *vide comm.* **60–63** *vide comm.* **80–82** τὸ περὶ φθαρτοῦ καὶ ἀφθάρτου δόγμα ἐκίνησε: ≂ Theoph. 240,31–241,1 τὸ περὶ φθαρτοῦ καὶ ἀφθάρτου κινήσας δόγμα = Ecl. Hist. 323,23–24 = Cedr. I 680,5, Anon. Sath. 100,22. *Vide* et *comm.* **84** ἐξ αὐτῆς ἑνώσεως: cf. Zon. III 173,10 ἅμα τῇ προσλήψει.

τούτου Βελισάριος ὁ στρατηγικώτατος ἐπιφανὴς ἐπὶ πολλοῖς τροπαίοις ἐγένετο, καὶ ὁ κίων ἔστη τοῦ Αὐγουστίωνος, ἐν ᾧ ἔφιππος ὁ αὐτοκράτωρ κεχάλκευται. Ἀποφθέγματα Ἰουστινιανοῦ.

Τῷ βασιλεῖ Ἰουστινιανῷ δύο ποτὲ ἀγγελιῶν κομισθεισῶν ἀπὸ δυοῖν στρατοπέδων κατὰ τὴν αὐτὴν ἡμέραν, χαροπῶν τε καὶ σκυθρωπῶν, πρὸς μὲν τὸν δεξιὸν ἀγγελιαφόρον ἐνατενίσας ἐστύγνασε 'δέδια' εἰρηκὼς 'τὴν τῆς τύχης μεταβολήν'· πρὸς δὲ τὸν ἐπαρίστερον χαροπώτερον ἐπιστραφεὶς εἰρήκει· 'θαρρῶ ἐπὶ τῇ τῆς τύχης μεταβολῇ', τὰ αὐτὰ τέλη τῶν ἀποφθεγμάτων ἑτέρως εἰπών.

Ὁ αὐτὸς βασιλεὺς πρὸς τοὺς καταιτιωμένους αὐτόν, ὅτι τὴν αἰδῶ τῶν ἀρρενοφθόρων τέμνειν διέγνωκεν, 'εἰ δὲ ἱερά' φησι 'σεσυλήκασιν, οὐκ ἂν τὴν χεῖρα ἀπέτεμον;'

Ὁ αὐτὸς κατάκριτόν τινα θεασάμενος γενναίως πρὸς τὰς παρὰ τῶν δημίων πληγὰς ἑστηκότα 'μὴ πρὸς τὰς παρὰ τῶν δημίων' ἔφη 'οὕτως ⟨στῇς⟩ πληγάς, ἀλλὰ πρὸς τὰς παρὰ τῶν πολεμίων.' Οὗτος ἐν τῷ νοσεῖν οὐ ταχὺ κατεκλίνετο· 'πῶς γὰρ ἄν' φησι 'σταίην πρὸς τὰς παρὰ τῶν βαρβάρων πληγάς;'

72 ⟨Ἰ⟩ουστῖνος ὁ μικρός. Οὗτος ὁ βασιλεὺς ἀνεψιὸς ὢν τοῦ μεγάλου Ἰουστινιανοῦ τὰ μὲν τῶν ἠθῶν ἐκείνου μεμίμηται, τὰ δὲ ὑπερεβάλετο. Τὴν μέντοιγε ἵδρυσιν τοῦ τῶν Ἁγίων Ἀποστόλων νεὼ ἡττᾶται περιφανῶς Ἰουστινιανοῦ τοῦ τὴν Ἁγίαν Σοφίαν οἰκοδομήσαντος. Εἰρηνικὸς δὲ ὁ βασιλεὺς οὗτος ὢν εἴπερ ἄλλος τις ἐπὶ πᾶσι πράγμασι κἀπὶ ταῖς δίκαις αὐταῖς οὐ τῇ τοῦ δικαίου ἀκριβείᾳ τοσοῦτον ἐστοίχει, ὅσον τῇ οἰκονομίᾳ τοῦ πράγματος. Ἐπὶ τούτου τοῦ αὐτοκράτορος ὁ ἐκτομίας Ναρσῆς κατορθώματα κατὰ βαρβάρων ἐπεποίηκει πολλά. Τιβέριον δὲ στρατηλάτην πολλάκις κατὰ τῶν ἐναντίων ἀνδραγαθήσαντα καίσαρα
271r ἀνηγόρευσεν. | Εἶτα δὴ νοσήσας καὶ τὴν σωτηρίαν ἀπογνοὺς αὐτὸν δὴ τὸν Τιβέριον τῆς βασιλείας καταξιοῖ καὶ τὸ διάδημα περιτίθησιν. Εἶτα δὴ ἡμέρας τινὰς ἐπιβιοὺς τελευτᾷ βασιλεύσας ἔτη τρισκαίδεκα.

Ἔλεγεν ὁ βασιλεὺς οὗτος, ὅτι 'συγγνωστὸς ὁ βασιλεὺς σφαλεὶς ἐπί τινι πράγματι, εἰ δ' ἐπὶ τὸ αὐτὸ αὖθις σφαλείη, ἀσύγγνωστος'.

Ὁ αὐτὸς τὰς τιμωρίας τῶν ἁμαρτημάτων ἐλάττους ἀεὶ ποιῶν 'πῶς ἄν' φησι 'τοὺς ἁμαρτήσαντας νικήσωμεν, εἰ μὴ φιλανθρωπότερον τούτους τιμωρησαίμεθα;'

87–88 ἐπὶ τοῦτω **88** Βελλισάριος, vide autem ms. E Zonarae, ubi constanter nomen duplicibus λ est scriptum ἐπιφανεὶς **7** ⟨στῇς⟩ addidi compar. l. 8 πολέμων **11** Ἰουστίνου correxi compar. Ecl. Hist. 324,21 **14** εἴπερ ἄλλος τις : ἤπερ ἄλλό τις

2–4 cf. Zon. III 159,1–3 καὶ πρὸς τὸν ἐρόμενον „διὰ τί ταύτῃ τοὺς ἀρρενοφθόρους κολάζεις;“ ἔφη ”εἰ δ' ἄρα ἱεροσυλήκασιν, οὐκ ἂν τὴν χεῖρα τούτων ἀπέτεμον;“ **16–17** ὁ ἐκτομίας Ναρσῆς: cf. Zon. III 169,8 (Justiniano regnante) ἦν δὲ ὁ Ναρσῆς ἐκτομίας, ἄλλως

women. During his reign Belisarius proved his best general and was honored with many trophies. And at the Augusteum the column was erected, where upon a bronze of the emperor on horseback.

Sayings of Justinian.

The emperor Justinian once received on the same day two messages from two army camps. One message was joyful, the other mournful. He looked at the favourable messenger with a grim eye and said: "I fear a change of fortune", but he showed himself more joyous toward the unfavourable one, saying: "I hope for a change of fortune", using in his sayings the same ending with different significance.

To those who criticised the same emperor for his order to cut off the parts of homoerotics he said: "But do I not cut off the hand of a church-robber?" When the same once saw a condemned one, who bravely endured the blows of the executioners, he said: "one should not ignore the blows of the executioners, but should bear the blows of the enemies thus bravely!" Even when ill he did not soon go to bed: "how should I otherwise be able", were his words, "to withstand the blows of the barbarians!".

72 Justinus the younger. Being a nephew of the great Justinian this emperor not only imitated his behaviour, he sometimes proved even better. As to the construction, however, of the church of the Holy Apostles, he was clearly inferior to Justinian who built the Hagia Sofia. But this emperor, if anyone, was peace-loving on all counts and even in matters of justice he did not aim so much at the mere accuracy of judgement as at the real result.

During the reign of this emperor the eunuch Narses scored many successes against the barbarians. But he appointed as caesar the general Tiberius because of his frequently demonstrated bravery against his adversaries. Later on, being ill and despairing his salvation, he judged the same Tiberius worth the empire and granted him the diadem. He still lived for a number of days and then died after a reign of thirteen years.

This emperor used to say: "though an emperor may be forgiven for failing in an affair, a second failure in the same affair is unpardonable".

The same always reduced punishment for offences saying: "how shall we ever vanquish evil unless we punish the evildoers in a more humane way?".

μέντοι γενναῖός τε καὶ στρατηγικώτατος κτλ.; Proc. VI 14,16 ὁ δὲ Ναρσῆς οὗτος εὐνοῦχος μὲν ἦν ..., ἄλλως δὲ ὀξὺς καὶ μᾶλλον ἢ κατ᾽ εὐνοῦχον δραστήριος. Agath. I 16,1 (30,4 Ke.) ἦν γὰρ ὁ Ναρσῆς ἔμφρων ἐς τὰ μάλιστα καὶ δραστήριος καὶ δεινὸς ἁρμόσασθαι τῷ παρεμπίπτοντι ... καὶ ταῦτα τομίας γε ὢν ... *Vide* et *comm.* **17–19** Τιβέριον ... ἀνηγόρευσεν: cf. Ecl. Hist. 326,17 καὶ Τιβέριον ἰδιοποιησάμενος (sic et Anon. Sath. 103,24–25; leg. autem υἱο-π. (?), cf. Theoph. 247,28, Cedr. I 685,6, Zon. III 178,5–6) διὰ τὰς ἀνδραγαθίας αὐτοῦ Καίσαρα ἀνηγόρευσε. **24–34** *vide comm.*

Ὁ αὐτὸς τοὺς ἐπαιρομένους τῶν βασιλέων ἐπί τε τῷ κάλλει τοῦ κόσμου καὶ τῷ τῆς κεφαλῆς διαδήματι ἀγνοεῖν ἔφασκε τούτους, ὅτι λίθοι εἰσὶ τὰ περιβλήματα ταῦτα καὶ σηρῶν νήματα, τοὺς δὲ ἠλλοιωμένους ἐπὶ τῇ λαμπροτέρᾳ τῆς τύχης μεταβολῇ φρενιτιῶντας ὠνόμαζεν ὡς ἐπιλελησμένους τῆς πρώτης γενέσεως.

Ὁ αὐτὸς ἔλεγε δεῖν τὸν βασιλέα μὴ ἐπὶ τοῖς θριάμβοις, ἀλλ' ἐπὶ τοῖς ἀγαθοῖς τρόποις λαμπρύνεσθαι, μηδὲ ἐπὶ ταῖς τιμωρίαις, ἀλλ' ἐπὶ ταῖς εὐεργεσίαις τὴν βασιλικὴν δύναμιν ἐπιδείκνυσθαι.

73 Τιβέριος. Τιβέριον τὸν βασιλέα ἐπὶ ταὐτοῦ πράγματος ἐπαινεῖν καὶ ψέγειν δυνηθείη ἄν τις. Οὗτος γυναῖκα ἔχων Ἀναστασίαν ὄνομα ὑπέσχετο Σοφίᾳ τῇ γαμετῇ Ἰουστίνου, ὡς εἰ πείσει τὸν ἄνδρα βασιλέα τοῦτον ποιήσασθαι ἤδη πρὸς τῷ θανεῖν ὄντα, ἀλλάξαιτο τὸν ταύτης γάμον τῆς οἰκείας γυναικός. Ἐπεὶ δὲ ἐβασίλευσε τῆς Ἀναστασίας τὰ λέκτρα τῶν τῆς Σοφίας προετίμησε. Ῥήτωρ οὖν ἀνὴρ καὶ ψέξειε τοῦτον ὡς τὰς ἐπαγγελίας ψευσάμενον καὶ ἐπαινέσειεν ὡς διασωσάμενον τὴν πρὸς τὴν γυναῖκα διάθεσιν. Ἦν δὲ ὁ ἀνὴρ ἄφθονός τε καὶ ἀνεπίφθονος. Ἐγάννυτο οὖν εὐεργετῶν καὶ τοῖς τῶν ὑπηκόων ἀνδραγαθήμασιν ἐσεμνύνετο. Μαυρίκιον οὖν στρατηλάτην τότε τυγχάνοντα καὶ πολλὰς νίκας κατὰ βαρβάρων ἀνῃρημένον γαμβρὸν ἐποιήσατο ἐπὶ Κωνσταντίνᾳ τῇ θυγατρί, εἶτα καὶ τελευτῶν βασιλέα ποιεῖ ἄνδρα γενναῖον μὲν καὶ σώφρονα, φιλοχρήματον δέ. Ἐβασίλευσε δὲ οὗτος ὁ βασιλεὺς ἔτη πέντε.

Ἀποφθέγματα Τιβερίου.

Ἔλεγε Τιβέριος ὁ αὐτοκράτωρ μὴ δεῖν βασιλέα ἐγγυᾶσθαι τὰ μέλλοντα, ἵνα μὴ τῶν πραγμάτων καταπεσόντων ψεύστης ἀποδειχθείη.

Ὁ αὐτὸς ἔλεγεν, ὡς οὐ χρὴ τὸν βασιλέα πέρα τοῦ μετρίου εὐεργετεῖν, ἵνα μὴ τῶν πραγμάτων ἐπιλειπόντων αὐτῷ τοῦ εὐεργετοῦντος δέηται.

Εἴωθε λέγειν οὗτος ὁ βασιλεύς, ὡς εἰ μὴ βασιλεὺς ἦν, τὸν ἰδιώτην ἂν εἵλετο βίον· εἰ γὰρ ἄδοξον, ἀλλ' ἀκίνδυνον.

Ὁ αὐτὸς κατηγόρει πολλάκις τῆς τύχης ὡς ἀγνώμονος· δεξιῶς γὰρ ταύτῃ χρησάμενος, ἐν πολλοῖς ἐγνώκει δυσμενῆ καὶ ἐπαρίστερον.

Ὁ αὐτὸς βασιλεὺς εὐτυχῶν μὲν ἠγάλλετο, δυστυχῶν δὲ οὐκ ἠνιᾶτο λέγων δεῖν πάντα ἄνθρωπον ἐπὶ τοῖς παροῦσι μὲν ἀγαθοῖς εὐφραίνεσθαι, ἐπὶ δὲ τοῖς ἐφεστηκόσι κακοῖς μὴ ἀνιᾶσθαι, τὴν ἀγαθὴν ἐλπίδα ἑαυτῷ προβαλλόμενον.

Οὗτος ἀδείας οὔσης ἐγυμνάζετο τὴν ψυχὴν ὄμβροις καὶ θάλπει ταλαιπωρούμενος, 'ἵν' ἔχοιμί' φησι 'τούτοις ὡς συνήθεσιν ἐπὶ τῆς ἀνάγκης κεχρῆσθαι.'

---

29 ἀλλοιομένους **30** ὀνόμαζεν **35** Τιβέριος : in margine, prima manu **45** ἀνηρημένων **62** τούτους

Those emperors who were proud of the beauty of their luxuries and the diadem on their heads did not realise, as he often said, that these garments were no more than stones and the threads of silkworms, but those who altered their behaviour after the turn to a more splendid fortune were styled by him as men suffering from frenzy, who had forgotten how they were born.
The same used to say that the emperor should distinguish himself not by triumphs, but by good habits; neither should he demonstrate imperial power by punishments, but by benefits.

73 Tiberius. One might praise as well as blame the emperor Tiberius for the same thing. Being married to a woman called Anastasia, he promised Sofia, Justinus' wife, that he would place her in the position of his own wife, if she proved able to persuade her dying husband to appoint him emperor. But when he had become emperor he preferred Anastasia's bed to Sofia's. Thus a lawyer might blame him for having neglected his promises, and, at the same time praise him for having preserved his relation to his wife. And the man was neither jealous nor provoking jealousy. He enjoyed doing good and felt proud of the successes of his subjects. At that time there was a general named Mauricius who had won many victories against the barbarians; this man he made his son-in-law by marrying him to his daughter Constantina, and at the end of his life he made him emperor, for he was, indeed, brave and prudent, albeit greedy as well. He, Tiberius, reigned five years.
Sayings of Tiberius.
The autocrat Tiberius used to say that an emperor should never guarantee future developments: things might go wrong and prove him a liar. He also would say that an emperor should not be excessively beneficent, in order to avoid requiring beneficence in time of need. It was a usual expression of this emperor that he should have preferred to be a common citizen, had he not been emperor: if without fame, then without risk.
The same often blamed fortune for being unfair. For having taken advantage of her favour, he could not help deeming her hostile and unfavourable in many respects.
The same emperor enjoyed success, but did not take offence at failure saying that everybody should be happy with favourable circumstances, but should feel no distress at bad luck: on the contrary, he should keep good hope. By suffering hardships in rain and heat, he trained his spirit in time of security to be, as he said, accustomed to these in case of necessity.

43—45 cf. Zon. III 182,8 = Ecl. Hist. 328,18, Cedr. I 690,20, cf. Theoph. 252,1—2.

74 Ἀποφθέγματα Μαυρικίου.

Εἴωθε λέγειν οὗτος ὁ βασιλεύς, ὡς τὰ χρήματα σῴζει τὸν βασιλεύοντα. Προϋποκεῖσθαι γὰρ ταῦτα καὶ εἰς πολέμων παρασκευὴν καὶ εἰς φίλων εὐνοίας ἀμοιβήν.

Ὁ αὐτὸς τοὺς ἀναλίσκοντας τὰ πατρῷα πατραλοίας ὠνόμαζεν ὡς τὰ τῶν πατρῴων ἀπολλύντας χρήματα.

Ὁ βασιλεὺς Μαυρίκιος ἰδὼν ἐν τῷ πολέμῳ στρατιώτην φεύγοντα μηδενὸς διώκοντος 'στῆθι' ἔφη 'καὶ ζήσῃ.'

⟨Ὁ⟩ αὐτὸς τοὺς ταχέως ἐν ταῖς μάχαις τὰ νῶτα μεταβαλόντας ἔφασκε μὴ ἐξ ἀνάγκης τοῦτο ποιῆσαι, ἀλλ' ὥσπερ ἐκ προβουλεύματος.

Ὁ αὐτὸς ἰδὼν στρατιώτην πολλοῖς ἐν τῷ πολέμῳ βέλεσι καὶ ἀκοντίοις χρώμενον 'ποτέρῳ' ἔφησεν 'ἀκοντιεῖς ἢ πότερον ἀποτοξεύσεις ἐπὶ τὸν ἐχθρόν;'

Μαυρίκιος. Γαμβρὸς Τιβερίου τοῦ βασιλέως ὁ Μαυρίκιος, ἀνὴρ μεγαλόφρων μὲν καὶ στρατηγικός, ἐναντίᾳ δὲ τῇ τύχῃ διὰ φιλοχρηματίαν χρησάμενος, ὡς ὁ λόγος ἐρεῖ προϊών. Ἐνίκησε μὲν πολέμους πολλοὺς κατὰ Περσῶν τὰ Ῥωμαϊκὰ κινήσας στρατόπεδα. Ἀντάραντας δὲ αὐτῷ ποτε τοὺς στρατιώτας ⟨παρέδωκε⟩ τῷ ἀρχηγῷ τοῦ βαρβαρικοῦ στρατοπέδου (Χαγάνος δὲ ὁ γενναιότατος ἦν), τούτου δὲ γενομένου γράφει τῷ Χαγάνῳ ὁ βασιλεὺς ἀφήσειν ἅπαν τὸ Ῥωμαϊκὸν δορυάλωτον. Ὁ δὲ πολλὰ τὸ πρῶτον λύτρα τούτων ἐπιζητῶν, ὕστερον ὑπὲρ τοῦ καθένα ἕνα χρύσινον ἐπεζήτησεν, εἶθ' ὕστερον τὸ ἥμισυ τοῦ νομίσματος. Μηδέτερον δὲ τοῦ βασιλέως διὰ φειδωλίας δεξαμένου ἅπαντας τοὺς ἑαλωκότας ὁ Χαγάνος διεχειρίσατο. Ἦσαν δὲ οἱ ἀποκτανθέντες χιλιάδες δυοκαίδεκα. Τοῦ δὲ κακοῦ τούτου συντελεσθέντος εἰδὼς ὁ Μαυρίκιος, ὡς οὐκ ἀτιμώρητος ἔσται ἐφ' οἷς ἔδρασεν, ἐξελιπάρει τὸν θεὸν ἐνταῦθα τὴν δίκην τῶν εἰργασμένων λήψεσθαι. Ὅθεν καὶ ὀπτασίας αὐτῷ ἐπιγενομένης νυκτὸς καὶ τοῦ θεοῦ ὥσπερ ἐπ' ὄψεσιν εἰρηκότος· 'ἐν ποίῳ καιρῷ βούλει τιμωρηθῆναι, Μαυρίκιε;', 'ἐν τῷ παρόντι', ἔφησε, 'Κύριε'. Ἐφ' οἷς ὁ Χριστὸς τοῖς περιεστηκόσιν εἰρήκει· 'παράδοτε αὐτὸν Φωκᾷ τῷ στρατιώτῃ'. Ἦν δὲ ὁ Φωκᾶς οὗτος δεινὸς μὲν τὰ πολέμια, δυσμενὴς δὲ τὴν ψυχήν. Χρησμοῦ δὲ ἐπ' αὐτὸν κατενεχθέντος ὡς 'ὁ τυραννήσων καὶ βασιλεύσων τὸ Φ στοιχεῖον τοῦ ὀνόματος ἔχει προτεταγμένον' ἐμηνία Φιλιππικῷ τῷ γαμβρῷ, ἀλλὰ μετὰ τὸν ὄνειρον σπένδεται. Ὁ δὲ στρατιώτης Φωκᾶς ἐγκρατὴς τοῦ Μαυρικίου γενόμενος δεσμεῖ τοῦτον καὶ πρῶτον μὲν ἐπ'

---

64 Mirum videtur quod series apophthegmatum Mauricii descriptioni regni eius praecedit, quae res auctorem e collectione apophthegmatum imperatorum separata hausisse indicet **72** Ὁ αὐτὸς: littera O a miniatore omissa scriptum autem invenies spiritum asperum **81** παρέδωκε: complevi compar. Theoph. Conf. 278,34. Possis προὔδωκε vel ὑπέθετο προδοῦναι compar. Ecl. Hist. 329, 25–26 **82** Χάγανος: vide ad 87 ubi ms. et ipse habet Χαγάνος. De accentu vide Theophyl. Sim. ed. De Boor indicem, Theof. Conf., Zon. etc.

74 Sayings of Maurice.

This emperor used to say that money saves the emperor. For money is a fundamental requisite both for war-equipment and for rewarding well-disposed friends.

The same called one who squandered his father's fortune a parricide because of his destroying forefatherly goods.

Once in a battle the emperor Maurice saw a soldier running away though he was pursued by nobody and said: "stand and you shall live".

The same often said that those who soon turned tail in battle acted more with malice aforethought than driven by force majeure.

When the same saw a soldier who used a great quantity of arrows and spears in combat, he said: "what do you think you are doing? Would you harass the enemy by shooting spears or by throwing arrows?"

Maurice. He, Maurice, was emperor Tiberius' son-in-law, very clever and general-like, indeed, but unfortunate because of his greediness, as will become clear from my story. He won many battles after moving the Roman armies against the Persians. But when his soldiers once had mutinied against him ⟨he delivered them up⟩ to the general of the barbarian army (this was Chaganos, a very brave man), and after this had happened the emperor wrote to Chaganos asking him to set the whole captured Roman army free again. Chaganos began by asking a high ransom for their freedom, then he demanded one gold coin a head, later on half a coin. But the emperor's parsimony prevented him from accepting a single one of the conditions, and therefore Chaganos had all the prisoners killed. The killed numbered twelve thousand. This evil accomplished, Maurice realised he would certainly be punished for what he had done, and he beseeched God to wreak justice on him already in this world for his deeds. Yes, even a vision appeared to him in the night, and he saw as it were God himself who said: "at which time do you want to be punished, Maurice?", and he answered: "in my lifetime, my Lord". Thereupon Christ ordered the bystanders: "deliver him up to Phocas, the soldier!" Indeed, this Phocas was formidable at war, but hostile in his heart. Now, Maurice had received an oracle that said: "he who will usurp the throne and will be emperor, he bears a name that begins with 'Ph' ". So he was wroth against his brother-in-law Philippikos, but having seen the vision he became reconciled with him. When, however, Phocas the soldier had laid hands on Maurice, he put him in irons and first, before his very eyes, killed all his children, at

---

71 allusio ad N. T. Luc. 10,28 τοῦτο ποίει καὶ ζήσῃ **86** διὰ φειδωλίας: cf. Zon. III 193,1 ἐκ φειδωλίας. *Vide comm.* ad 80 **90** ὀπτασία: eodem vocabulo usi sunt Theoph. 285,4 et Joh. Antioch. frg. 218 d, cf. Man. 3583 ὀπτάνεται κατ' ὄναρ. **91–93** *vide comm.* **93–94** *vide comm.*

ὀφθαλμοῖς τούτου τὰς οἰκείας γονὰς ἀναιρεῖ, ἐπὶ τῇ σφαγῇ ἑκάστου λέγοντος 'δίκαιος εἶ, Κύριε, καὶ δικαία ἡ κρίσις σου'. Ἔπειτα καὶ αὐτὸς
271v τὴν κεφαλὴν | τέμνεται βασιλεύσας ἔτη εἴκοσι.

75 Φωκᾶς ὁ τύραννος. Οὐκ ἔλαβε κόρον ὁ τύραννος οὗτος ἐφ' οἷς τὸν βασιλέα Μαυρίκιον ἐτιμωρήσατο, ἀλλὰ καὶ τὴν γυναῖκα εὑρηκὼς ὕστερον ἀπέκτεινε καὶ τὸ συγγενὲς ἅπαν διώλεσεν. Ἐς τοσοῦτον δὲ ὠμότησι καὶ ἀπανθρωπίαις πρὸς τοὺς πολίτας ἐχρήσατο, ὥστε ἀναγκασθῆναι τούτους καὶ ἐπὶ τῆς ἀγορᾶς καὶ ἐπὶ μέσου θεάτρου κατηγορεῖν. Ἐτόλμησαν δέ ποτε καὶ τὰς δημοσίας ἀνοῖξαι φυλακὰς καὶ φανερὰν ἐπιβουλὴν ἀρτύσασθαι κατ' αὐτοῦ. Κρίσπος δὲ ὁ πατρίκιος γαμβρὸς ὢν αὐτοῦ τῆς ἄκρας ὠμότητος βδελυξάμενος μεταστέλλεται Ἡράκλειον ἐν Ἀφρικῇ στρατηγοῦντα, ὅπως ἀνέλθῃ ἐπὶ τὸ Βυζάντιον μετὰ τοῦ στόλου παντὸς καὶ τὸν τύραννον ἐξελὼν τῆς ἀρχῆς τιμωρήσηται. Καὶ γίνεται οὕτω θεοῦ κινήσαντος. Καὶ τῆς ἀρχῆς ἐξελαθεὶς ὁ Φωκᾶς τιμωρεῖται παρὰ τῶν πολιτῶν καὶ τῷ Ἡρακλείῳ μελαγχίτων παρίσταται, πρὸς ὃν ὁ Ἡράκλειος 'οὕτω, τύραννε, τὴν βασιλείαν κατέστησας ἰδιωτικῶς' ἔφη· ὁ δὲ ἰταμῶς 'σὺ δὲ κάλλιον ἂν καταστήσειας;' Ἐφ' οἷς κατατέμνεται ἔτη βασιλεύσας ὀκτώ.

Ἀποφθέγματα τοῦ τυραννικοῦ Φωκᾶ.

Εἴωθε λέγειν ὁ τύραννος Φωκᾶς, ὡς ὁ βασιλεὺς τοῖς νόμοις πειθόμενος οὐδὲν τῶν ἰδιωτῶν διενήνοχεν.

Ὁ αὐτὸς δικαστῶν κατὰ νόμους ἀποφηναμένων περί τινος πράγματος, ὡς αὐτὸς οὐκ ἠβούλετο, 'μὴ κατὰ τοὺς κοινοὺς νόμους', ἔφησεν, 'ἀλλὰ κατὰ τοὺς ἐμοὺς τρόπους δικάζετε. Παρὰ μὲν γὰρ τῶν νόμων οὐδὲν ἂν εὕρητε οὔτε ἀγαθὸν οὔτε κακόν, παρὰ δὲ τῆς ἐμῆς ἐξουσίας δυεῖν θάτερον ἢ τιμωρηθήσεσθε ἢ εὐεργετηθήσεσθε.'

Ὁ αὐτὸς κολαζομένους μέν, δακρύοντας δέ, δειλοὺς καὶ ἀπολέμους ὠνόμαζε καὶ πρὸς μάχην οὐκ εὐπρεπεῖς.

Ὁ αὐτὸς βασιλεὺς τὰς σωματικὰς ἡδονὰς μάλιστα προσήκειν τῷ αὐτοκράτορι ἔλεγεν ὡς δυνατῷ πάντα καὶ ποιήσασθαι καὶ παθεῖν.

Οὗτος τὸν ἐπικλώμενον ἐπὶ δάκρυσι δένδρῳ εἴκαζεν ἑτοίμως ῥηγνυμένῳ ὑπὸ τοῦ πνεύματος.

76 Ἡράκλειος ὁ μέγας. Ἐπὶ βασιλείας Ἡρακλείου μέγα οἱ Πέρσαι ἰσχύσαντες Δαμασκὸν εἷλον καὶ Παλαιστίνην, Αἴγυπτόν τε καὶ Λιβύην

---

19 ἰταμῶς : ἰστακῶς **25** κατὰ : καί, sed forsitan legendum sit κατὰ ⟨τοὺς⟩ νόμους ἀποφηνάμενον **26** ἠβούλετο : post corr. ex ἐβούλετο **27** ἐμοὺς : post corr. ex ἐμὰς δικάζεται

---

5 δίκαιος ... σου: cf. Psalm. 118,136: δίκαιος εἶ, Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου. Theoph. 290,5, Zon. III 197,3 = Psalmus; Cedr. I 706,23 δίκαιαι αἱ κρίσεις; textus = Theophyl. Sim. VIII 11,13, Georg. Mon. 663,1, Ecl. Hist. 332,16–17. **7–9** cf. Georg. Mon. 664,2 sqq., Ecl. Hist. 332,24–28, Zon. III 199,13. **13** Κρίσπος: idem habent nomen Ecl. Hist.

whose slaughter the emperor said each time: "righteous art thou, O Lord, and upright are thy judgements". Thereafter he was beheaded himself, having reigned twenty years.

75 The tyrant Phokas. This tyrant did not become satiated by the punishments he forced the emperor Maurice to suffer, no, later he also found out where his wife was and killed her; in this way he wiped out his whole family. His cruelty and inhuman deeds against the citizens reached the point that they felt obliged to accuse him both in the marketplace and in the theatre. Once they even dared to open the state prisons and to organise an open attack on him. The patrician Crispus, his son-in-law, who loathed his extreme cruelty, summoned the commander-in-chief of Africa, Heraclius, to come to Byzantium with the whole fleet in order to expel the tyrant from the throne and to punish him. And thus it happened under God's instigation. Chased away from the throne Phokas was punished by the citizens, and clothed in black he appeared before Heraclius, who said to him: "was this your amateurish way, tyrant, to handle the empire?", on which Phokas answered shamelessly: "you may perhaps handle it more professionally?" Upon these words he was beheaded after eight years of reign.
Sayings of the tyrannous Phokas.
The tyrant Phokas used to say that obedience to the law would not distinct the emperor from the common citizens. The same said to judges who passed judgement in a particular case according to the law, but against his own view: "don't fashion your judgement according to the common laws, but according to my custom! For from the laws you will receive nothing, either positive or negative, but from my power you may expect either punishment or else benefit".
The same qualified as cowards, unwarlike and unworthy for fighting, those who cried when punished.
The same emperor often said that physical pleasures were first of all prerogatives of the emperor as being capable to undertake and to undergo everything.
He also compared someone who knuckled under at tears with a tree at the point of breaking under the storm.

76 Heraclius the Great. During the reign of Heraclius, the Persians rose to great power and they took Damascus and Palestine, Egypt, Libya and

---

333,29, Cedr. I 711,19. Nomen Prisci indicat Theoph. 295,26, necnon Anon. Sath. 107,15 et Zon. III 201,7, ubi autem mss. CE nomen Crispi notaverunt. Cf. et Georg. Mon. 668,3. **17–20** cf. Georg. Mon. 665,14 sqq., Ecl. Hist. 334,4–8, Cedr. I 712,23–713,3, Zon. III 202,20–203,4, Glyk. 511,12. **36–38** ≈ Ecl. Hist. 335,8–13 Οἱ δὲ Πέρσαι παρέλαβον τὴν Καππαδοκίαν καὶ τὴν Δαμασκὸν καὶ Παλαιστίνην καὶ τὴν ἁγίαν πόλιν ...· ὡσαύτως παρέλαβον Αἴγυπτον καὶ Λιβύην καὶ ἕως Αἰθιοπίας· ἦλθον δὲ καὶ ἕως Καλχηδόνος καὶ ταύτην παρέλαβον. Cf. Theoph. 300, 20, 30, 301, 9–10, Cedr. I 714, 11, 24, 715,7–8, 16–17.

καὶ Αἰθιοπίαν. Ἐληΐσαντο δὲ Συρίαν τε καὶ Καππαδοκίαν καὶ μέχρι Καλχηδόνος ἐπεξελάσαντες πολέμῳ ταύτην παρέλαβον. Χοσρόης δὲ τηνικαῦτα τῶν Περσῶν ἀρχηγὸς ἐγνωρίζετο, ἀνὴρ καὶ τὴν μεγαλαυχίαν πολὺς καὶ τὴν πονηρίαν βαθὺς καὶ εἴπερ τις ἄλλος πολεμικώτατος. Οὐ μὴν οὐδὲ σπένδεται τῷ βασιλεῖ Ἡρακλείῳ αἰτησαμένῳ εἰρήνην, ἀλλ' ἀπόφημά τινα πρὸς αὐτὸν φθέγγεται. Οὐ τὰ τῆς ἕω δὲ μόνον εἶχε τοῖς Ῥωμαίοις κακῶς, ἀλλὰ καὶ τὰ τῆς ἑσπέρας χαλεπῶς. Ἐπεστράτευσαν γὰρ ἐνταῦθα οἱ Ἀβάρεις κατὰ τῆς πόλεως καὶ τούτους μὲν ὅπως δύναιτο τοῦ τυραννεῖν ἔπαυσε. Χοσρόης δὲ ὁ τῶν Περσῶν βασιλεὺς Σάιτον μὲν πρῶτον εἶθ' ὕστερον Σάρβαρον τὴν Ἀσίαν ληϊσομένους ἀπέστειλε, Ἡράκλειος δὲ πάντοθεν στενούμενος καὶ διαπορούμενος ταῖς πρὸς θεὸν ἐλπίσιν ἑαυτὸν παραθέμενος καὶ τοὺς πόδας ἀτιμάσας μέλασιν ὑποδήμασι στρατεύει κατὰ Περσῶν, πολλὰ τῶν ἐθνῶν σύμμαχα ἑαυτῷ ποιησάμενος. Καὶ ναυτικὴν δὲ δύναμιν παρασκευασάμενος πλῷ χρῆται διὰ τοῦ Εὐξείνου πόντου καὶ λαβὼν τοὺς στρατηγοὺς Χοσρόου ἐπ' αὐτὸν τῷ θυμῷ δικαίῳ χωρεῖ. Ἑπτὰ δὲ ὅλα ἔτη τὸν κατὰ Περσῶν ἀράμενος πόλεμον, πολλὰς μὲν ἐποιήσατο συμβολάς, πολλοῖς δὲ ἐχρήσατο μηχανήμασιν, ἐν οἷς τὰ πλείω μὲν κατώρθου, ἔστι δ' ἃ καὶ ἠτύχει. Ἐτρώθη δὲ καὶ ἐν πολλοῖς τοῦ σώματος μέρεσι, τέλος δὲ γίνεταί τι τοιοῦτον. Νόμου παρὰ Πέρσαις ὄντος τὸν πρεσβύτερον τῶν παίδων τοῦ βασιλεύοντος εἰς τὴν τοῦ πατρὸς βασιλείαν καθίστασθαι, Χοσρόης τὸν νεώτερον ἀνάγει πρὸς τὴν ἀρχήν. Ἐφ' οἷς μηνίσας ὁ παροφθεὶς δεσμεῖ τε τὸν πατέρα καὶ μετ' οὐ πολὺ ἀναιρεῖ, τὸν παῖδα Μαρδασᾶν, ὃν ἐβασίλευσεν, ἐπ' ὄψεσιν αὐτοῦ πρότερον ἀνελών. Σειρόης δὲ (οὗτος γὰρ ἦν ὁ πρεσβύτερος) ἐγκρατὴς γενόμενος σπένδεται πρὸς Ἡράκλειον καὶ φιλίας δεσμοὺς τίθεται. Ὑποστρέφοντι δὲ τῷ βασιλεῖ ἐκ τῆς Περσίδος τροπαιοφόρῳ ἀπαντᾷ Μωάμεθ, ὁ τῶν Σαρακηνῶν φύλαρχος, ἐκ τῆς Αἰθρίβου ἐπανελθών. Καὶ χώραν αἰτησάμενος εἰς κατοίκησιν τετύχηκε τῆς ἐφέσεως. Ὃς πρόφασιν πλούτου ἐκ γυναικὸς εὑρηκὼς τὸ ἔθνος σοφίζεται. Καὶ δυνάμεις ἑαυτῷ ποιησάμενος πρῶτα μὲν τὴν Συρίαν ληΐζεται, ἔπειτα καὶ τὰ Ῥωμαίων δῃοῦν ἤρξατο.

---

39 Καρχηδόνος *vide comm.* et ad 42,59 **45** Ἄμαρεις littera secunda revera formam habet litterae my, non secundariam u = β. Possis autem Ἄβαρες, cp. Cedr. I 714,14 aut Ἄβαρεις cp. Theoph. Conf. 300,1 (De Boor, in ms. sine accentu) **46** τοῦ : τῶ **47** ληισαμένους **51** διὰ τοῦ Εὐξείνου πόντου scripsi compar. Ecl. Hist. 336,31 : τὸν τοῦ Εὐξείνου πόντον **56** παρὰ : περὶ **60** αὐτοῦ : αὐτῷ (?) **65** αἰτησώμενος ἀφέσεως **66** ποιησόμενος

44–45 ≂ Ecl. Hist. 335,17–18 ἐπεστράτευσαν δὲ καὶ οἱ Ἀβάρεις κατὰ τῆς πόλεως **46** Σάιτον: eandem nominis formam habent Ecl. Hist. 336,1 et 8, et Georg. Mon. 668,13; 669,1; cf. 668,20 (Chron. Pasch. I 706,12, Cedr. I 718,6 Σάην, Theoph. 306,30 Σάϊν). **47** εἶθ' ὕστερον ... ἀπέστειλε: cf. Ecl. Hist. 336,12–14 Εἶτα πάλιν Χοσρόης ἀπέστειλεν ... Σάρβαρον, ὃς ... ἦλθε πρὸς τὴν Ἀσίαν, τὴν γῆν τῶν Ῥωμαίων ληϊζόμενος ≈ Cedr. I 718,17 **49** τοὺς πόδας ἀτιμάσας μέλασιν ὑποδήμασι: cf. Ecl. Hist. 336,19 μέλανα ὑποδήματα περιβαλόμενος et Georg. Pisid. 27 μελαμβαφὲς πέδιλον εἰλίξας πόδας, cf. Cedr. I 718,22, 719,4. **50** cf. Ecl. Hist. 336,31–32 προσλαβόμενος εἰς συμμαχίαν πλῆθος Τούρκων, καὶ

Ethiopia. They plundered both Syria and Cappadocia and even pushed on to Chalcedon which they took by force. For at that time Chosroes was the famous leader of the Persians, a very arrogant man of base wickedness and incomparably warlike. He showed not the slightest willingness to accept Heraclius' offer for peace; instead, his answer comprised only some blasphemous proposals. But not only the eastern part was in a desperate situation for the Romans, also the conditions at the western part were unfavourable. For there the Avars marched against the city, but he managed as well as possible to stop their tyranny. Chosroes, however, the Persian king, sent out first Saītus, and after him Sarbarus to plunder Asia, and Heraclius, oppressed and desperate, set all his hopes on God, put his feet into dishonourable black foot-wear and advanced on the Persians with a great number of tribes whom he had made allies. He also built up a sea-force, sailed by way of the Black Sea, took the generals of Chosroes prisoner, and marched with just anger against Chosroes himself. Seven full years he fought the war against the Persians, in which he waged many battles and made use of a choice of war-engines. He was mostly successful, sometimes he was beaten. He incurred a great number of wounds in many parts of his body, but the end came in the following way. There is a law among the Persians that the king is succeeded by the eldest of his sons, but Chosroes raised his youngest son to the kingship. The rejected son became so angry about this course of affairs that he imprisoned his father and had him killed shortly thereafter, having put to death before his eyes his son Marsadas, whom he had made king. Thus Siroës (as the eldest son was called) came to power and he concluded peace with Heraclius and forged ties of friendship with him. But on his victorious way home the emperor met with Mohammed, the tribal chief of the Saracenes, who had come from Yathrib. This man asked for the concession to found a colony and he was granted it. He was it also who, having become a well-to-do man through his wife, then started to beguile his people. He provided himself with troops, plundered first Syria and began after that to devastate Roman lands.

ἄλλων ἐθνῶν πλήθη ≈ Cedr. I 719,8. **50–52** cf. Ecl. Hist. 336,30 κατὰ Περσῶν ἐστράτευσε μετὰ πλοίων διὰ τοῦ Εὐξείνου πόντου = Cedr. I 719,7 **53** ἑπτὰ δὲ ὅλα ἔτη: cf. Ecl. Hist. 337,30 κατασφάζων τὴν πᾶσαν Περσίδα ἐν ἔτεσιν ἕξ, τῷ δὲ ἑβδόμῳ ἔτει τὰ τίμια ξύλα ἀπὸ Περσίδος ἀναλαβών, ...; cf. etiam Theoph. 328,1, Georg. Mon. 672,10–11, Anon. Sath. 108,8 sqq. **58** τὸν νεώτερον: cf. Cedr. I 734,5 τὸν ὕστατον υἱὸν **59–61** δεσμεῖ ... ἀνελών: cf. Theoph. 326,25 τοῦτον δὲ δεσμήσαντες – 327,5 sqq., Zon. III 211,5 δεσμεῖ τε τοῦτον ... (8) εἶτα τὸν υἱὸν αὐτοῦ Μερδασάν ..., ἀνεῖλε πρὸ ὀφθαλμῶν αὐτοῦ ... καὶ ἐπὶ πᾶσιν κἀκεῖνον. Cf. etiam Chron. Pasch. 728,21, Man. 3732–34. **61** Σειρόης: Theoph. 326,9 etc. Σιρόης = Cedr., Man., Zon.; Σειροίης Chron. Pasch., cf. Σειρώης in ms. h Theoph. **62–65** ≂ Zon. III 214,1–2, cf. Ecl. Hist. 337,30–338,4. De Mahometo ceteroqui Theoph. 333,1 sqq., Georg. Mon. 697,12 sqq., Cedr. I 738,3 sqq. **66** τὸ ἔθνος σοφίζεται: cf. Zon. III 215,11–12 ... τὸ ἔθνος ἅπαν κατασοφισάμενος ... **67** τὴν Συρίαν ληΐζεται: cf. Zon. III 215,12–13 ... τὴν Συρίαν κατέδραμέ τε καὶ ἐληίσατο ...

Ἀλλὰ περὶ μὲν τούτου ἀρκεῖ ταῦτα. Ἡράκλειος δὲ εἰς τὴν πόλιν ἐπανελθὼν πρῶτα μὲν ἐπὶ τὴν τῶν μονοθελητῶν δόξαν ἐξεπεπτώκει, ἔπειτα καὶ τὴν ἀνεψιὰν γήμας Μαρτῖναν παιδίον ἐξ αὐτῆς τίκτει καὶ Ἡρακλωνᾶν ὀνομάζει καὶ τελευτῶν βασιλέα ποιεῖ τῶν ἑτέρων υἱέων καταφρονήσας. Ἐβασίλευσε δὲ ἔτη τριάκοντα.

Ἀποφθέγματα Ἡρακλείου.

Ὁ βασιλεὺς Ἡράκλειος οὐκ ἔλεγε δεῖν θυμοῦσθαι τὸν βασιλέα, ἀλλὰ πραότητι μεταβάλλεσθαι ἢ ἐννόμως καὶ ἀθορύβως τὰ δόξαντα ποιεῖν.

Ὁ αὐτὸς τοὺς καλλωπιζομένους τῶν βασιλέων ἑταιριστρίαις ἀπείκαζε γυναιξίν.

Οὗτος ὁ βασιλεὺς τοὺς βουλομένους τῶν αὐτοκρατόρων στρατηγεῖν μέν, μὴ φιλοσοφεῖν δέ, ἡμιτύφλους ἐκάλει τὸν δεξιὸν ὀφθαλμόν.

Ἡράκλειος τῇ ἀστρονομίᾳ προσκείμενος ἔλεγε τοὺς μὴ ἐθέλοντας ἀστρολογεῖν μὴ βούλεσθαι ἀναγινώσκειν τὰ τοῦ θεοῦ γράμματα.

77 Κωνσταντῖνος υἱὸς Ἡρακλείου. Οὐδέν τι περὶ Κωνσταντίνου τοῦ υἱοῦ Ἡρακλείου εἰπεῖν δεδυνήμεθα, οὔτ' ἀγαθὸν οὔτε κακόν, ὅτι μήτε πλείονα χρόνον ἑνὸς ἐνιαυτοῦ ἐν τῇ βασιλείᾳ διήρκεσε, μήτε τι ἐπεπράχει τῶν ὅσα ψόγον φέρει ἢ ἔπαινον, καὶ πρὸ τῆς ἀρχῆς καὶ μετὰ τὴν ἀρχὴν νοσήμασι πλείστοις ταλαιπωρούμενος. Πείθει δέ μέ τις τῶν ἱστορησάντων τοὺς βασιλεῖς ἐν συγγράμμασιν, ὅτι ἀπηρτισμένος ἦν τὴν ἀληθῆ εὐσέβειαν καὶ ἀμώμητον καὶ οὐ κατηκολούθει τῷ πατρικῷ δόγματι. Μαρτῖνα δὲ ἡ ἀνεψιὰ ὁμοῦ καὶ γυνὴ Ἡρακλείου, τοῦ υἱοῦ Ἡρακλωνᾶ ἕνεκα, ὃν ἀπὸ τοῦ Ἡρακλείου ἔσχε, βασκαίνουσα τούτῳ τῆς βασιλείου τιμῆς, δηλητήριον φάρμακον λάθρᾳ σκευασαμένη δίδωσι πιεῖν καὶ ἀναιρεῖ. Καὶ εἰ μηδὲν μήτε τῆς ἐπινοίας μήτε τῆς ἀπονοίας ἀπώνατο, ἀλλ' ἐπὶ κεφαλὴν αὐτῆς ἡ ἁμαρτία καταβεβήκει. Περὶ μὲν Κωνσταντίνου τοῦ βασιλέως οὐδὲν ἀπόφθεγμα φέρεται· ὀλίγον γὰρ βιώσας ἐτεθνήκει.

78 Ἡρακλωνᾶς υἱὸς νόθος Ἡρακλείου . Τὸ παιδίον Ἡρακλωνᾶς (οὔπω γὰρ δεκαετὴς ὢν ἐβασίλευσεν) υἱὸς ἦν Ἡρακλείου τοῦ αὐτοκράτορος καὶ Μαρτίνης , ἥτις ἦν Ἡρακλείῳ ἀδελφιδῆ. Ἀλλ' ὁ βασιλεὺς μανικώτερον
272r ταύτης ἐρασθείς, καίτοι | τἆλλα φρενήρης ὢν καὶ ἡδονῶν ἐγκρατής, οὐκ εἶχεν ὅπως ἂν τὸ πάθος ἀπώσαιτο, ἀλλὰ καὶ γάμον ἐπ' αὐτῇ συγκροτεῖ καὶ ἐμπομπεύει τῷ πράγματι. Τοῦτον δὲ τὸν Ἡρακλωνᾶν ἡ Μαρτῖνα, Κωνσταντῖνον ἀνελοῦσα τὸν ἔννομον υἱὸν Ἡρακλείου, εἰς τὴν βασιλείαν ἀνάγει. Ἀλλ' οὔπω τέσσαρες παρῳχήκεσαν μῆνες, καὶ ὑβριοπαθήσαντες

---

70 Ἡρακλωνᾶν scripsi, sed in ms. litterae ω helix est praefixa, quae forsitan ut ε interpretanda sit : Ἡρακλεωνὰν. Eandem helicem invenies in § 77, in § 78 autem noster scribit Ἡρακλωνᾶς. **82** § 77 qualibet causa dislocatum in ms. non prius quam post caput, quod de Imperatore Artemio (= § 86) agitur, invenies. *Vide comm.* περὶ : παρὰ **87** ἀπηρτημένος ἦ **88** κατηκολούθη **89** Ἡρακλεωνᾶ **91** ποιεῖν **1** ἦν : μὲν **2** ἀδελφιδῆς *vide comm.*

68–69 cf. Ecl. Hist. 339,22, 27–28 < Georg. Mon. 673,9 sqq., Cedr. I 752,17, 22–23,

But enough about him.
Heraclius returned into the city. There he first fell into the doctrine of monotheletism, and then he married his niece Martina who bore him a son whom he named Heraclonas and whom he appointed emperor on his deathbed, ignoring his other sons. He reigned thirty years.
Sayings of Heraclius.
The emperor Heraclius used to say that anger did not suit an emperor. He should either change his mind in a friendly way or carry out his decisions lawfully and quietly.
The same compared the emperors who liked to show off with meretricious females.
Those emperors who wished to be generals but declined philosophy were qualified by this emperor as half-blind: in the right eye.
Heraclius occupied himself intensively with astronomy and used to say that those who had no use for astrology refused to read God's letters.

77 Constantine, the son of Heraclius. We can mention nothing about Constantine the son of Heraclius, neither positive nor negative, because his reign lasted no more than one year and he achieved nothing worthy of either blame or praise, troubled as he was both before and during his reign by innumerable diseases. One of the authors who wrote a history of the emperors convinces me that he perfectly adhered to the true and faultless orthodoxy and that he did not follow his father's doctrine. Martina, however, the niece and at the same time the wife of Heraclius, begrudged him the imperial honour because of her son Heraclonas, whom she had got by Heraclius; and she secretly prepared a deadly poison which she gave him drink and by which she killed him. Well, whether premeditated or by foolish impulse: she had no profit by it whatsoever, and the sin fell fully on her head.
No saying of emperor Constantine has been transmitted; he died too young.

78 Heraclonas the bastard son of Heraclius. The boy Heraclonas (he was not even ten years old when he became emperor) was the son of the emperor Heraclius and Martina, who was Heraclius' niece. Though in every other respect prudent and self-controlled, the emperor had fallen more than maniacally in love with her and had failed to subdue his passion. So he contracted wedlock with her and prided himself upon it. But Martina elevated this Heraclonas to the emperorship by murdering Heraclius' legal son Constantine. However, there passed not more than four months before the

---

Zon. III 215,17. **82–85** cf. Man. 3798–3802 ὁ παῖς αὐτοῦ … Κωνσταντῖνος, / ὅς … καὶ τῆς ἀρχῆς γευσάμενος πρὸς ἓν ἔτος τοῦ στέφους/ ἀνθυπεκρύβη τάχιον … / μηδέν τι μνήμης ἄξιον φθεγξάμενος ἢ δράσας … Vide similem adnotationem apud Psellum, *Mich. VII*, XII 4–5 de Constantino Michaelis filio. **86–88** cf. Zon. III 216,10–12 ἦν δὲ ὁ Κωνσταντῖνος περὶ τὴν πίστιν ὀρθός, τὴν βασιλείαν πατρόθεν διαδεξάμενος, οὐ μέντοι καὶ τὸ κακόδοξον. *Vide* et *comm.* **1** δεκαετὴς ὤν: cf. Zon. III 217,7 ὁ Ἡρακλωνᾶς ἔτι δεκέτης ὢν …

ἐπὶ τῷ γεγονότι ἡ σύγκλητος ἐξωθοῦσιν ἀμφοτέρους τῆς βασιλείας, τῷ μὲν Ἡρακλωνᾷ τὴν γλῶσσαν τεμόντες, τῇ δὲ Μαρτίνᾳ τὴν ῥῖνα. Καὶ οἱ μὲν ἰδιώτευσαν καὶ οὕτω τεθνήκασι, βασιλεύει δὲ ἀντ' αὐτῶν Κώνστας ὁ Κωνσταντίνου υἱός.

79 Ὁ βασιλεὺς Κώνστας ὁ τοῦ Κωνσταντίνου υἱός, ἔγγονος δὲ Ἡρακλείου, ἀγαθὸς μὲν τοὺς τρόπους καὶ ἐπὶ τοῖς συμβούλοις τὴν βασιλείαν ποιούμενος, τὸ δὲ σέβας καὶ λίαν ψεκτός. Οὐ γὰρ τὴν τοῦ πατρὸς εὐσέβειαν, ἀλλὰ τὴν τοῦ πάππου αἵρεσιν εἵλετο. Ἔνθεν τοι καὶ μεμίσηται παρὰ τῶν πολιτῶν καὶ βιαιότερον θνῄσκει. Οὗτος καταλιπὼν τὴν Κωνσταντίνου καὶ ἐν Συρακούσῃ γενόμενος (πολίχνιον δὲ Σικελικὸν ἡ Συράκουσα) ἐβούλετο μεταθεῖναι τὴν ἐν τῷ Βυζαντίῳ βασίλειον ἀρχὴν εἰς τὴν πρεσβυτέραν Ῥώμην. Ἀλλ' οἱ περὶ αὐτὸν σύμβουλοι ἐπέσχον τῆς ὁρμῆς. Ναυμαχοῦντι δὲ ἐν Φοινίκῃ καὶ Παλαιστίνῃ τῷ βασιλεῖ τῶν Ἀράβων ὄναρ αὐτὸν ἐν Θεσσαλονίκῃ εἶναι ἐφάντασε. Καί τις τῶν περὶ τοὺς ὀνείρους τὴν ἐπιστήμην ἐχόντων ἐξεῖπε τῷ βασιλεῖ διηγησαμένῳ τὸν ὄνειρον, ὅτι τῷ πρὸς τοὺς Ἄραβας ἡττᾶται πολέμῳ· τὸ γὰρ Θεσσαλονίκης ὄνομα σαφῶς τοῦτο δηλοῖ 'Θὲς ἄλλῳ τὴν νίκην.' Ἔνιοι δὲ τοῦτο τῷ πατρὶ προστιθέασιν. Ἐβασίλευσε δὲ οὗτος ἔτη ἑπτὰ πρὸς τοῖς εἴκοσιν.

Εἴωθε λέγειν οὗτος ὁ βασιλεύς, ὡς ὁ βασιλεύων μέν, συμβούλοις δὲ περὶ τῶν δεόντων πραγμάτων μὴ χρώμενος, οὗτος τῶν ἡδίστων ἑαυτὸν ἀποστερεῖ· ἢ γὰρ κατορθώσας περὶ ὧν προείλετο βασκαίνοντας τοὺς πλείους ἔχει τούτῳ τῆς πράξεως ὡς μὴ μετασχόντας τῶν βουλευμάτων αὐτῷ, ἢ ἀτυχήσας δυεῖν ἡμάρτηκε, καὶ ὧν ἐπεχείρησε καὶ τοῦ συναλγεῖν τοὺς ὑπηκόους αὐτῷ.

Ὁ αὐτὸς ἔλεγε τὰ ὀνείρατα ἀπορρήτων εἶναι μυστήρια.

Ὁ αὐτὸς Μάξιμον τὸν φιλόσοφον τῆς γλώσσης καὶ τῆς δεξιᾶς ἀποστερήσας χειρὸς ἔλεγεν ἀφαιρεῖσθαι Χριστιανοὺς καὶ λόγου καὶ πράξεως.

Ὁ αὐτὸς βασιλεὺς μεταθέσθαι τὴν βασιλείαν εἰς Ῥώμην βουλόμενος ἔλεγε δεῖν ἅπαντας τὰς μητέρας ἢ τὰς θυγατέρας τιμᾶν.

80 Κωνσταντῖνος ὁ υἱὸς Κώνσταντος. Ὁ βασιλεὺς Κωνσταντῖνος ὁ Κώνσταντος φιλοπάτωρ ἦν εἴπερ τις ἄλλος. Εὐθὺς γὰρ ἅμα τῷ τὴν βασιλείαν κατασχεῖν εἰς Σικελίαν ἐκπλεύσας κατῆρε τοὺς τοῦ πατρὸς φονέας τιμωρησόμενος. Οὗτος Πωγωνᾶτος ὠνόμασται, ὅτι ἀποπλεύσας ἀπὸ Βυζαντίου ἄρτι τὸν ἴουλον ἐξανθῶν εἰς τὴν νέαν Ῥώμην ἐπανελήλυθε καθειμένον ἔχων τὸ γένειον. Δυσὶ μὲν οὖν συνεβασίλευσε ἀδελφοῖς Ἡρα-

---

23 Ἀράβους vide autem 70,45 et 72,91 **25** τοῦτο : τούτω **30** μετασχόντων **37** τὰς[1] : τοῖς **40** ἐκπνεύσας

senate, alarmed by what had happened, expelled them both from the throne. Heraclonas was divested of his tongue, Martina of her nose. Thus they became private citizens, in which condition they died, and in their place reigned Constans, the son of Constantine.

79 The emperor Constans, son of Constantine, grandson of Heraclius, had a good character and he reigned relying on his advisers. As to the true faith, however, he was absolutely mistaken, for he did not adhere to his father's orthodoxy but to his grandfather's heresy. Because of this there arose hatred against him among the citizens; this brought about his violent death: having left the city of Constantine and arrived at Syracuse (Syracuse is a small town in Sicily) he considered transferring the seat of Byzantine government to the elder Rome, but his advisers dissuaded him. And when he fought sea-battles around Phoenicia and Palestine against the Arabian king he had a dream which transported him in his phantasy into Thessalonica. One of the experts to whom the emperor submitted his dream told him that he would lose the war against the Arabs, for this was made clear by the name of Thessalonica: "Leave (*thes*) to the other (*al(l)o*) the victory (*nica*)"! (Some people connect this story with his father). This emperor reigned twenty-seven years. This emperor was accustomed to say that he who reigned without consulting his advisers in the appropriate cases, prived himself from the most agreeable things: either succeeding in the way he had chosen he would find the majority critical of his deed because they had not taken part in the deliberations, or, failing, his misfortune would be double: lack of success and lack of commiserating subjects!
The same used to say that dreams were mysteries of a secret world.
The same had the philosopher Maximus' tongue and right hand cut off, saying he had deprived the Christians of words and deeds.
His plan to transfer the government to Rome made the same emperor often say that everybody should rather honour his mother than his daughter.

80 Constantine, the son of Constans. No one honoured his father more than Constantine, the son of Constans. For as soon as he had assumed the throne he weighed anchor for Sicily to catch and punish his father's murderers. He was nicknamed Pogonatos (Long-beard) because he sailed out from Byzantium when the first fluff adorned his cheeks and he returned to New Rome having grown a long beard. He started reigning together with his two

---

16–19 cf. Zon. III 221,2–4: ἀπῆρεν οὖν τοῦ Βυζαντίου καὶ εἰς Σικελίαν κατῆρε, διάγων περὶ Συράκουσαν, βουλόμενος καὶ τὴν βασιλείαν εἰς τὴν πρεσβυτέραν Ῥώμην μετενεγκεῖν. Vide et Theoph. 351,24–25, Man. 3835–39 (cum florida comparatione!), Cedr. I 762,18–21. Cf. etiam Scr. Hist. Longobard. p. 416–419 **37** ἔλεγε … τιμᾶν: ≈ Zon. III 221,4 ἔλεγε γὰρ δεῖν μᾶλλον τὰς μητέρας (i. e. πρεσβ. Ῥώμην) ἢ τὰς θυγατέρας τιμᾶν, *vide comm.* **42** ἄρτι τὸν ἴουλον ἐξανθῶν: cf. Man. 3859 μεῖραξ τρυφεροπρόσωπος ἀνίουλος ἀπώγων. *Vide* et *comm.* **43–45** *vide comm.*

κλείῳ καὶ Τιβερίῳ, ἀλλ' ἄμφω καὶ τῆς βασιλείας ἐξῶσε καὶ τὰς ῥῖνας ἀπέτεμεν ἐπιβουλὴν πλασάμενος κατ' αὐτῶν. Οὗτος καὶ Ἄραβας κατεναυμάχησε καὶ τὸ ὑγρὸν πῦρ ἐφεῦρε καὶ κατορθώμασι πολλοῖς τὴν βασιλίδα κεκόσμηκε. Τῶν δὲ Βουλγάρων ἡττηθεὶς κατὰ πόλεμον φόρους ἐτησίους διδόναι συνέθετο. Εἶτα δὴ καὶ σύνοδον οἰκουμενικὴν συναθροίσας ἐν Βυζαντίδι ἀναθεματίζει τῶν μονοθελητῶν τὴν αἵρεσιν, Σέργιον καὶ Πύρρον τοὺς ἀρχηγοὺς καθελὼν τῆς αἱρέσεως. Ἐβασίλευσε δὲ ἔτη δεκαεπτά.

Ἀποφθέγματα Κωνσταντίνου, υἱοῦ Κώνσταντος.

Οὗτος ἔλεγε τὰς τῶν δημίων χεῖρας μηδὲν φιλοσόφων διαφέρειν συλλογισμῶν· τοὺς μὲν γὰρ τὸ συμπέρασμα εὑρίσκειν, τὰς δὲ τὸ ἀδίκημα.

Οὗτος ὁ βασιλεὺς Ἰουστινιανὸν τὸν πατέρα Γερμανοῦ ἀνελών, ὃς δὴ ὕστερον τὸν τῆς Κωνσταντινουπόλεως ἀρχιερατικὸν θρόνον ἐκόσμησε, καὶ αὐτὸν δὴ τὸν Γερμανὸν ἤδη τὴν ἡλικίαν ἁδρότερον ὄντα τῶν παιδογόνων ἀφαιρεῖται μορίων· δεῖν γὰρ ἔφη μὴ τὸν πατέρα ὄφιν, ἀλλὰ καὶ τὸ γέννημα ἀναιρεῖν, ἵνα μὴ τιμωρὸν γένηται τῷ πατρί.

⟨Ο⟩ὗτος τὰς προγεγονυίας πέντε συνόδους ἐν τῇ παρ' αὐτοῦ συγκροτηθείσῃ ἀρραγέστερον συνδεσμήσας πολλάκις ἔφησε δεῖν ἀνανεοῦν τὸ καλόν, ἵνα μὴ ἐξίτηλον γένηται.

81 Ἰουστινιανὸς ὁ υἱὸς Κωνσταντίνου. Ἰουστινιανῷ τῷ βασιλεῖ ⟨εἴ τις⟩ τὰς πονηρὰς αὐτοῦ πράξεις ταῖς ἀγαθαῖς ἐπισταθμίσειε, μυριοπλασίας ἐκείνας εὑρήσει. Κατὰ μὲν γὰρ τῶν δυτικῶν Σκυθῶν ἐκστρατεύσας ἅπαξ νενίκηκεν. Εἶτα δὴ τῇ νίκῃ ἐπαρθεὶς λύει τὴν εἰρήνην, ἣν οἱ τῆς Σάρας ἀπόγονοι καὶ Ῥωμαῖοι πρὸς ἀλλήλους ἔθεσαν. Οἱ δὲ τὰς ἐγγράφους συνθήκας ἐν τῷ πολέμῳ δεικνύντες ἐθεοκλύτουν καὶ μάρτυρα ἐπεβοῶντο τὸν ἐγκείμενον τοῖς γράμμασιν. Ἔνθεν τοι καὶ συμμίξας τοῖς ἐναντίοις ὁ βασιλεὺς αἰσχίστην ἧτταν ἡττήθη. Ἀναζεύξαντι δὲ εἰς τὰ βασίλεια ἡλίου γέγονεν ἔκλειψις. Τὸν δὲ οὐδὲ τοῦτο ἐσωφρόνισεν, ἀλλ' ὥσπερ μηδενὸς αὐτῷ γεγονότος καινοῦ τοῖς τῶν ἀνακτόρων καλλωπισμοῖς προσεῖχε τὸν νοῦν καὶ οὗ θεῖος νεὼς τῇ θεοτόκῳ καθίδρυται θεατρικήν τινα κρηπῖδα θέμενος τοῖς ἐκεῖσε συνειλεγμένοις δήμοις προσεῖχε τὸν νοῦν. Ἀλλ' οὔπω ἑκκαίδεκα ὅλα ἔτη βεβιωκότα Λεόντιος ὁ πατρίκιος τῆς βασιλείας καταβιβάσας καὶ τὴν ῥῖνα τεμὼν ὑπερόριον εἰς Χερσῶνα ποιεῖται.

---

52 Ἀποφθέγματα ... Κώνσταντος : hunc titulum qualibet causa inter τῷ πατρί (59) et οὗτος (60) dislocatum huc transtuli. Sed fortasse ll. 60–62 coniunctim lineae 53 praecedebant **58** ἀφαιρεῖται : σφαιρεῖται **60** οὗτος : ο deest **63–64** εἴ τις addidi **66–67** τῆς Σάρας suspectum : conicio τῆς Ἄγαρ, *vide comm.* **71** ἔκκληψις **75** λέντιος

47–48 φόρους ἐτησίους: cf. Ecl. Hist. 344,4 ἐτήσια ... πάκτα, Zon. III 228,4–5 δασμὸν ... ἐτήσιον **48–50** (vide etiam 60–62): cf. Ecl. Hist. 344,7–11 καὶ σύνοδον οἰκουμενικὴν ποιήσας, συναθροίσας ἐν Κωνσταντινουπόλει τῶν σπθ′ πατέρων, ἐβεβαίωσε τὰ δόγματα τῶν προλαβουσῶν ἁγίων πέντε συνόδων, καὶ τὴν τῶν μονοθελητῶν αἵρεσιν ἀνεθεμάτισε, καθελὼν Σέργιόν τε καὶ Πύρρον. **55–58** cf. Zon. III 222,4–8 ... ἀνεῖλε ... καὶ τὸν

brothers Heraclius and Tiberius, but he ejected them from the emperorship and had their noses cut off because of an unmotivated suspicion against them. He also beat the Arabs at sea, invented the fluid (= Greek) fire and embellished the fame of the capital by his many achievements. But at war with the Bulgars he was defeated and forced to pay yearly tribute. Further, he summoned an oecumenical synod in Byzantium and had the monotheletic heresy condemned and the leaders of the heresy Sergius and Pyrrhus deposed. He reigned seventeen years.

Sayings of Constantine, son of Constans.

One of his usual sayings was: "there is no difference between the executioner's hands and the philosopher's syllogisms: the last being busy to conclude what is right, the first, to execute what is wrong".

This emperor put to death Justinian the father of Germanus, who later became the pearl of the high-priestly see of Constantinople, and he had the same Germanus, though already of adult age, robbed of his genital parts, with the argument that one should not only kill the father serpent but also his brood, lest it avenge the father.

At the synod summoned by him he strengthened the ties with the five previous synods and made them more unbreakable, remarking that the good should often be renewed, to preserve the memory of it.

81 Justinian, the son of Constantine. If one should measure the bad deeds of the emperor Justinian against the good ones, he would find ten thousand times more bad ones. Campaigning against the western Scythians, he vanquished them once; then, elated at this victory, he broke the treaty of peace which Sarah's descendents [= the Saracens] and the Romans [= Byzantines] had concluded with each other. The former, therefore, showed in the confrontation the written agreements and called upon God and invoked Him, who was mentioned in the text as testimony. And so the emperor suffered in battle with the adversaries an awful defeat. Besides, after his return to the palace an eclipse of the sun took place. Nor did that bring him to his senses, but as if nothing particular had happened to him he directed his attention towards embellishing his palace, and at the spot where stood a holy church of the Theotokos he laid the foundations for a sort of theatrical building in which to give audience to the demes gathered there.

After a reign of not yet sixteen years the patrician Leontios forced him to abdicate, had his nose cut off and banished him to Cherson.

πατρίκιον Ἰουστινιανὸν τὸν πατέρα Γερμανοῦ τοῦ πατριάρχου· αὐτὸν δὲ τὸν Γερμανὸν ἐκτομίαν ἐποίησεν, ἤδη παρηβηκότα καὶ ὑπερβεβηκότα τὴν ἡλικίαν, καθ' ἣν εὐνουχίζεσθαι δεδοκίμασται. **67–69** cf. Zon. III 230,8 sqq. τῶν δὲ Ἀράβων τὰς σπονδὰς αἰτουμένων μὴ ἀθετῆσαι μηδὲ τὰς ἐγγράφους παραβῆναι συνθήκας καὶ τὸν θεὸν ἐπιμαρτυρομένων, ὃς μέσος παραληφθεὶς αὐτὰς ἐμπεπέδωκε, ... Vide et Theoph. 366,3 sqq., Georg. Mon. 730,1 sqq., Ecl. Hist. 345,2–9, Cedr. I 772,15 sqq. **76** ὑπερόριον εἰς Χερσῶνα ποιεῖται: cf. Zon. III 233,5 εἰς Χερσῶνα ἔθεντο ὑπερόριον

Ἀποφθέγματα Ἰουστινιανοῦ.

Ἔλεγεν ὁ βασιλεὺς οὗτος μὴ δεῖν τὸν βασιλέα δουλοπρεπῶς ἀπαρνεῖσθαι, ὃ ποιεῖν βούλοιτο, ἀλλ' ἐξαγορεύειν ἀναφανδόν.

Ὁ αὐτὸς ἰδών τινα φειδόμενον ἀδικούσης τῆς μητρὸς οὐκ ἔφησε δεῖν ἐπίπροσθεν τῆς δικαιοσύνης ἄγειν τοὺς γονέας.

Ἀφειδέστερον δὲ ταῖς τιμωρίαις χρώμενος εἰώθει λέγειν 'οὐκ ἂν ἄλλως 272v παυθείη τὰ χείρονα.' |

Ὁ αὐτὸς δεῖν μὲν ἔλεγε φεύγειν τὰς τιμωρίας, ἐμπεσόντας δὲ ἄκοντας μὴ καταπτοεῖσθαι, ἀλλὰ γενναίως ἵστασθαι.

⟨Ὁ⟩βασιλεὺς οὗτος τὴν ῥῖνα τμηθεὶς καὶ εἰς τὴν βασιλείαν αὖθις ἐπαναγόμενος κατεγέλα τῶν τυραννησάντων ὡς μὴ τὴν γλῶτταν αὐτοῦ τεμόντων· οὐδὲν γὰρ ἄλλο φρόνημα βασιλέως δεικνύειν ἔλεγεν ὡς λόγος.

Οὗτος δὶς βασιλεύσας ηὔχετο καὶ τρὶς καὶ τετράκις· ἦ δὲ γάρ, φησι, μετὰ νέφος ὁ ἥλιος.

82 Λεόντιος ὁ βασιλεύς. Οὗτος ὁ βασιλεὺς Ἄραβας τὴν Ἀφρικὴν ληϊζομένους ἄνδρα γενναῖον ἐξαποστείλας κατετροπώσατο. Εἶθ' ὁ στρατὸς ὁ Ῥωμαίων ἐπαχθῆ φανέντα τὸν στρατηγὸν ἐπ' αὐτοὺς ἀναιροῦντες, συνεισπεσόντες ξίφεσιν, εἶτα δὴ τὸν βασιλέα περὶ τούτου δείσαντες καὶ κατ' ἐκείνου ἀπηναισχύντησαν καὶ Ἀψίμαρον, τοῦ πλωΐμου τότε στρατοῦ ἐξάρχοντα, στρατιωτικῆς εὐφημίας ἠξίωσαν προκαλέσαντες τοῦτον τὰ βασίλεια τὸ τάχος ἀπὸ τῆς ἑῴας καταλαβεῖν, ὡς ἂν ὑπ' αὐτῶν συμμαχούμενος ἐγκρατὴς τῆς ἀρχῆς γένοιτο. Καὶ ὁ μὲν [Λεόντιος] προσώρμισεν ἐν Συκαῖς (πόλισμά τι δὲ αὗται, οὐ μακρὰν ἀπῳκισμένον τῆς πόλεως), ἡ δὲ πόλις ἀντείχετο Λεοντίου τοῦ βασιλέως καὶ παραχωρεῖν Ἀψιμάρῳ τῆς ἀρχῆς οὐκ ἐβούλοντο. Ἀλλὰ προδοσίαν ἔνιοι τῶν ἐντὸς τοῦ ἄστεος ποιησάμενοι πυλίδιά τινα ἀπὸ τῶν ἐν Βλαχέρναις μερῶν τῷ Ἀψιμάρῳ ἀνοίγουσιν, ὃς δὴ καὶ χειρωσάμενος τὸν Λεόντιον ἀφαιρεῖται τε τῆς ῥινὸς καὶ περιγράπτοις ὅροις ἐκόλασεν, ἔτη τρία τὴν βασίλειον ἀρχὴν κατασχόντα.

Ἀποφθέγματα Λεοντίου.

Οὗτος ἔλεγε τὸν βασιλέα μᾶλλον δεῖν δεδιέναι τῶν ἐν δεσμοῖς· οἱ μὲν γὰρ ὅπως ἂν λυθεῖεν βουλεύοιντο, ὁ δέ, πῶς ἂν μὴ δεσμοῖτο.

Οὗτος οὐδὲν ἔλεγεν ὀνεῖσθαι τὸν τέσσαρας τῶν αἰσθήσεων κατησφαλισμένον, τὴν δὲ πέμπτην ἀνεῳγμένην ἐάσαντα· οὐδὲν γὰρ ἔλαττον καὶ διὰ ταύτης μόνης εἰσελθὼν ὁ πολέμιος ποιήσειεν.

Ὁ αὐτὸς ἔλεγε μὴ δεῖν κοσμεῖσθαι τὸν βασιλέα λίθοις καὶ χρυσῷ καὶ ὑφάσμασιν, ἀλλὰ βέλεσι καὶ τόξοις καὶ δόρασιν.

Ὁ αὐτὸς ἔλεγε μὴ δεῖν τὸν βασιλέα ἑνὶ στέμματι, ἀλλὰ πολλαῖς νίκαις σεμνύνεσθαί τε καὶ καλλωπίζεσθαι.

---

85 καταποιεῖσθαι *vide comm.* **88** τεμόντων post corr. e τεμῶν **93** αὐτοὺς corr. Kambylis : ἀσιούς ἀναιροῦντες : malim ἀναιροῦσι, *vide comm.* **94** δήσαντες **1** ἠξίωσαν καὶ προκαλέσαντες: delevi καὶ **3** ὁ μὲν Λεόντιος προσώρμισεν : delevi Λεόντιος, sed forsitan textus

Sayings of Justinian.
This emperor used to say that an emperor should not in a slavish manner deny what he intended to do but speak about it openly. Once seeing someone who spared his wrong-doing mother, he said: "it is incorrect to favour one's parents above justice".
He was accustomed to justify his more merciless applications of punishment with the words: "there is no other way to prevent what is worse".
The same said: "one should try to escape from punishment, but once caught one should not give in to depression, but should bravely endure".
This emperor, whose nose was cut off but who returned to the imperial throne, laughed at the usurpers that they had not cut out his tongue: for, as he often said, nothing else could make clear an emperor's state of mind but words.
Being emperor for the second time he prayed for a third and fourth time, for, he said: "after rain comes sunshine".

82 The emperor Leontios. This emperor sent a brave man out against the Arabs who were plundering Africa and had them put to rout. After that, however, the army of the Romans killed their commander who seemed a burden to them; they attacked him with their swords, but then, afraid of the emperor for this deed and also ashamed before him they deemed Apsimar, at that moment commander of the maritime forces, worthy of being hailed emperor by the troops. They urged him to seize imperial power from the East as soon as possible so that he could gain possession of rulership with their help. So, indeed, *Apsimar* (*see comm. ad loc.*) landed at Sycae, a small town not far from the city. But the city remained loyal to the emperor Leontios and refused to transfer rulership to Apsimar. Some inside the city, however, committed treason by opening some small gates for Apsimar at the side of Blachernae. Thus Apsimar laid hands on Leontios, had his nose cut off and held him confined within a precisely circumscribed area, after his bearing imperial power for three years.
Sayings of Leontios.
He used to say that an emperor should be more afraid than prisoners: they were concerned with getting free, he with avoiding imprisonment. He used also to say that safeguarding four sense-organs was useless if the fifth remained accessible: the Foe would cause no less damage by that entrance alone. The same said that the emperor's make-up should not consist of precious stones, gold and garments, but of arrows, bows and spears. He said as well that the emperor should not be honoured and embellished by means of one crown, but by means of many victories. Once he saw somebody jumping forwards

---

lacunam habeat, *vide comm.* **7** μερῶν : ἡμερῶν **9** περιγραπτοῖς **12** μᾶλλον : μάλιστα (apophthegma vult dicere imperatorem magis decere anxium esse quam traditos in custodiam : his curae esse ut liberentur, ille ne capiatur)

Ὁ αὐτὸς ἰδών τινα προαλλόμενον τοῦ στρατοῦ ‛ὅρα σύ’, ἔφη, ‛ὦ λῷστε, μὴ καὶ πρῶτος ἀναιρεθείης παρὰ τῶν ἐχθρῶν.’

83 Ἀψίμαρος ὁ καὶ Τιβέριος.

Ἀψίμαρος ἅμα τῷ βασιλεῦσαι στρατὸν κατὰ πάσης ἀποστέλλει Συρίας καὶ ληΐζεται ταύτην καὶ πολλὰς ἐκείνων ἀναιρεῖ χιλιάδας καὶ θάρσους μεγάλου αἴτιος τῇ βασιλείᾳ Ῥωμαίων γίνεται. Καὶ ὁ μὲν ἐν τούτοις· ἦν δὲ ὁ βασιλεὺς Ἰουστινιανός, ὁ καὶ Ῥινότμητος, ὑπερόριος ἐν Χερσῶνι καθεστηκώς. Βασιλεῦσαι αὖθις ἑαυτῷ ἐμαντεύετο. Ὁ δὲ τῆς Χερσῶνος λεὼς δεσμεῖσθαι τοῦτον διενοήθησαν καὶ τῷ βασιλεῖ ἀναπέμψαι Ῥωμαίων. Ὁ δὲ γνοὺς τοῦ πλήθους τὸ βούλευμα λαθραίως καταφεύγει πρὸς τὸν βασιλέα τῆς Χαζαρίας, ὃς καὶ κῆδος τοῦτον ἐπὶ τῇ ἰδίᾳ ποιεῖται ἀδελφῇ. Ἀλλ’ ὁ βασιλεὺς Ἀψίμαρος τὸ γεγονὸς γνοὺς διὰ σπουδῆς ἐτίθετο πολλῆς Ἰουστινιανὸν ἐκεῖθεν χειρώσασθαι. Ὁ δὲ λαθὼν εἰς Χερσῶνα αὖθις κάτεισι καὶ διὰ τοῦ Ἴστρου εἴς τι τῶν τῆς Ῥώμης πολιχνίων καταπλεῦσαι βούλεται καὶ τυχὼν συμμαχίας ἐξ ὑποθέσεως διὰ τοῦ ἀγωγοῦ λαθραίως εἰς τὴν πόλιν ἐξεληλύθει. Καὶ ὁ μὲν Ἀψίμαρος εἰς τὴν Ἀπολλωνιάδα φεύγει. Ὁ δὲ τῆς ἀρχῆς αὖθις ἐπιτυχὴς γίνεται.

84 Ἰουστινιανὸς τὸ δεύτερον. Ἰουστινιανὸς τὴν βασιλείαν τὸ δεύτερον ἀπολαβὼν τῶν μὲν ἄλλων τῶν ἐπιβουλευσαμένων αὐτῷ τινα τῶν μερῶν ἀκρωτηριάζει τοῦ σώματος, Ἀψίμαρον δὲ καὶ Λεόντιον δεσμήσας ἁλύσεσι καὶ πρηνεῖς ἐξ ἑκατέρου μέρους διακρίνας καὶ τοῖς αὐχέσι τούτων ἐναρμόσας τοὺς πόδας, θεάτρου ἱππικοῦ ἀγομένου, δι’ ὅλου τοῦ ἀγῶνος συμπατῶν τούτους συνέθλιβεν· εἶθ’ οὕτως καὶ τῶν κεφαλῶν ἀφαιρεῖται. Καὶ Καλλίνικον τὸν πατριάρχην τῶν ὀμμάτων στερήσας ἐξώρισε. Τοῖς Βουλγάροις δὲ εἰς πολέμους συμβαλὼν καὶ ἡττηθεὶς εἴς τι καταφεύγει φρούριον, εἶθ’ οὕτως εἰς τὴν πόλιν ἐπάνεισι. Δυσχεράναντες δὲ τοῦτον οἱ στρατιῶται Φιλιππικόν τινα ἄνδρα γενναῖον καὶ τηνικαῦτα πρωτεύοντα ἀναρρήσεως ἀξιοῦσι βασιλικῆς, ὃς σὺν πλήθει νεῶν τὴν πόλιν καταλαβὼν καὶ τὸν Ἰουστινιανὸν χειρωσάμενος ἀναιρεῖ, ἔτη ἓξ τὸ δεύτερον βασιλεύσαντα.

85 Φιλιππικὸς ὁ καὶ Βαρδάνης. Τὰς πράξεις Φιλιππικὸς ὁ βασιλεὺς τῇ γλώττῃ ⟨οὐ⟩ παρόμοιος, ἀλλ’ εἰ μὲν δέον δημηγορεῖν, κατὰ τοὺς ἀκριβεστέρους τῶν ῥητόρων τὸν λόγον συνέταττεν, εἰ δὲ τοῦ πράττειν καιρὸς ἦν, οὐδεὶς ἐκείνου ἀσυνετώτερος, ἀλλὰ καὶ τοιοῦτος ἦν χαῦνος καὶ διερρυηκώς. Οὐδὲ τοῦ κρίνειν δόξας ἀπείχετο, προσέθετο δὲ τοῖς μονοθελήταις

---

21 ὅρα σύ : ὅρος **34** Χερσῶνας vide autem ll. 27 et 28 **38** Ἰουστινιανὸς : bis deest Ἰ **41** διακρίνας *vide comm.* **48** σὺν πλήθει : συμπλήθει τὴν : τὸ **51** Φιλιππικός : deest Φ **52** οὐ supplevi, sed possis ⟨οὐδὲν⟩ aut fortasse ἀπαρόμοιος : παρ’ ὅμοιος **55** τοῦ κρίνειν δόξας *vide comm.*

23–31 *vide comm.* 24–26, 26–32, 32–37. **44** ≂ Georg. Mon. 733,1–2 = Ecl. Hist. 348,25–26 Καλλίνικον δὲ τὸν Πατριάρχην τυφλώσας ἐξώρισε, … < Theoph. 375,13–14

out of the ranks and said: "take care, my friend, not to be the first man killed by the enemy!"

83 Apsimar, also called Tiberius. Upon becoming emperor Apsimar immediately sent an army against all of Syria, had it plundered and many thousands of inhabitants killed. By this action he very much increased the self-confidence of the Roman empire. So far so good, but the emperor Justinian, also nicknamed 'Nose-cut', lived an exile's life in Cherson. And he prophesied that he would be emperor again. The people of Cherson, however, made plans to put him in irons and to send him to the emperor. But he found out about the people's intentions and fled unseen to the king of Chazaria, who made him his kin through his own sister. When the emperor Apsimar heard about it, he left no stone unturned to lay hands on Justinian there. But he came secretly back to Cherson and conceived the idea to sail up the Danube and to take possession of one of the small Byzantine forts. He won, indeed, an ally 'on credit' and he penetrated unnoticed into the city by way of the aquaduct. Apsimar fled to the region of Apollonia and Justinian succeeded for the second time to the throne.

84 Justinian, second time. Having regained rulership Justinian had the others who had conspired against him mutilated, but Apsimar and Leontios he had chained and bent forward one at each side of him with their necks bound between their legs. During a whole performance in the hippodrome then, he trampled on them as foot-stools. And after that they were beheaded. The patriarch Callinicus, too, he had blinded and banished. At war with the Bulgarians, however, he was defeated, though he managed to flee into a fortress and from there to return to the city. But the soldiers felt disgust at him and deemed a certain Philippikos, a brave and at that time prominent man, worthy of the imperial title. This man occupied the city with the assistance of a considerable fleet, caught and killed Justinian, whose second reign lasted six years.

85 Philippikos, also called Bardanes. There was no resemblance whatsoever between emperor Philippikos' words and his deeds. That is to say, when he had to speak in public, he composed his speech according to the rules of the most precise orators; when, however, it was time to take action, none was sillier than he, but at the same time he was loose and lax, too. This did not prevent him from passing judgement on dogmas, and he favoured the

---

= Cedr. I 781,3–4 ≂ Anon. Sath. 117,23–24. Cf. Glyk. 518,14–16. **46** φρούριον: eodem vocabulo utuntur Ecl. Hist. 348,31, Zon. III 239,18 (Theoph. 376,24, Cedr. I 781,22 κάστρον). **49** χειρωσάμενος: idem habent Georg. Mon. 733,22, Ecl. Hist. 349,11; Zon. III 242,9 Ἰουστινιανὸς χειροῦται. **51–55** cf. Zon. III 243,13 sqq. ἐν μὲν γὰρ τῷ λέγειν ἐδόκει ῥητορικώτατος μὴ ἀμοιρῶν τε συνέσεως, ἐν δὲ τῷ πράττειν ἦν ξυμπάντων ἀσυνετώτερος καὶ πάμπαν ἀδέξιος. Vide et Theoph. 381,28–30, Ecl. Hist. 349,14–17, Cedr. I 784,21–785,1.

ὡς μᾶλλόν τι τῶν ἄλλων φρονήσασι, καὶ ταῦτα μηδ' ὅ τι ἐστὶ θέλημα ἐπιστάμενος ἢ φυσικὸν ἢ γνωμικόν, ἀλλ' ὥσπερ δόξαν ἀπὸ τῆς τοιαύτης θηρώμενος κρίσεως τοῖς πρώτοις τῶν λογίων κατέταττεν αὐτό. Θεωρῶν δὲ ἱππηλάσιον, ἐπειδὴ μετὰ τῶν νικησάντων ἐγεγόνει εἰς τὸ Ζευξίππου λουτρόν, ὑπὸ περιχαρείας ἐλούσατο καὶ κοινῆς τραπέζης ἑαυτῷ ἀξιώσας τοὺς ἱππηλάτας ἐν αὐτῷ τῷ ἑστιᾶσθαι ὑπό τινων λογάδων τῆς συγκλητικῆς βουλῆς τῶν ὀφθαλμῶν ἀφαιρεῖται, δύο ἔτη τὴν βασίλειον ἀρχὴν κατασχών.

Ἀποφθέγματα Φιλιππικοῦ βασιλέως.

Ἔλεγε Φιλιππικὸς ὁ βασιλεύς, ὅτι πράττειν μὲν οὐ πᾶσα ἀνάγκη τῷ βασιλεῖ, λέγειν δὲ καὶ πάνυ ἀναγκαῖον· διὸ δὴ μὴ τὰς χεῖρας ἔχειν ἑτοίμους, ἀλλὰ καὶ τὴν γλῶτταν πρόχειρον.

Οὗτος ἱερόσυλόν τινα ἐπὶ δικαστηρίου ἰδὼν χαύνως ἀπολογούμενον 'πῶς' ἔφησε πρὸς αὐτὸν 'πράττειν ἐτόλμησας οὔτε ὢν τὴν γλῶτταν εὔτολμος;'

Οὗτος φιλιππότης ἐξόχως γενόμενος καὶ θεατροσκοπίαις ἐπιτιθέμενος
273r | ἔφη προπαίδειαν εἶναι τῷ βασιλεῖ πρὸς τοὺς πολεμικοὺς ἀγῶνας τὰ θεατρικὰ ἱππηλάσια. Πρὸς δὲ τὸν εἰρηκότα μὴ δεῖν συγκατακεῖσθαι μίμοις τε καὶ γελοίοις 'διὰ τί' ἔφησεν 'εἰ ἐν τῇ τέχνῃ πρωτεύσειεν; Ἐγὼ δέ' φησιν 'οὐδὲ ῥήτορα ἀποδέχομαι ἄτεχνον.'

Εἴωθε δὲ τέως λέγειν· 'δεῖ τὸν βασιλέα καὶ ἀριστερώτατον εἶναι καὶ τοῦ δεξιοῦ κέρως προΐστασθαι'.

86 Ἀρτέμιος ὁ καὶ Ἀναστάσιος. Ἀρτέμιος βασιλεύσας Ῥωμαίων μετὰ Φιλιππικὸν παντοδαποῦ λόγου γευσάμενος οὐδὲ τῶν πολεμικῶν ἀγώνων ἀμαθὴς ἐγεγόνει, ἀλλὰ τὰ μὲν δι' ἑαυτοῦ κατώρθου, τὰ δὲ τοῖς κρείττοσι πιστεύων τὰ πράγματα. Τῶν δὲ Ἀράβων ὁπλιζομένων καὶ πόλιν περινοούντων σῖτόν τε εἰσηγάγετο ἐν αὐτῇ καὶ ὅπλα παρεσκευάζετο καὶ τοῖς τείχεσι μάλα κατωχύρωσε. Τῷ δέ γε τοῦ στόλου στρατεύματι οὐ πάνυ τι ἐπιτήδειος ἦν, ἀλλ' ἐπαχθὴς καὶ βαρύς. Ἔνθεν τοι ἅπαξ αὐτὸν δυσφημήσαντες εἰς στάσιν πρόδηλον ἐξεκαύθησαν. Πρὸς δὲ τὴν πόλιν ἐκ πολέμου ἀναζευγνύντες, ἐπειδὴ κατὰ τὸ Ἀτραμύτιον ἐγένοντο, Θεοδόσιόν τινα εὐσεβῆ καὶ ἀπράγμονα ἄνδρα ἐκεῖσε τυγχάνοντα τοῦ τῆς βασιλείας ὀνόματος τέως ἠξίωσαν. Ὁ δὲ πολλάκις διαφυγὼν καὶ τοσαυτάκις πάλιν παρὰ τοῦ λαοῦ συλληφθεὶς καὶ τῆς αὐτῆς εὐφημίας

---

58 αὐτό : αὐτόν *vide comm.* **70** ἄτολμος *vide comm.* **71** φιλιππότης : φιλοππότης sed forsitan emendandum sit φίλιππός τις ant φιλιππῶν τις **74** διὰ τί : διατί προτεύσειεν : malim πρωτεύσειαν/πρωτεύσαιεν **75** ἄτεκνον **77** κέρως : κέρδους **82** περινεούντων **84** οὐ πάνυ τι ἐπιτήδειος : οὐ πάνυ ἐπιτήδειος τί ἦν **86** Ἀτραμύντιον *vide comm.* **88** Ὁ : οἱ

---

59 ἱππηλάσιον: cf. Zon. III 244,9 ἱππήλατον … ἀγῶνα **61** ἐν αὐτῷ τῷ ἑστιᾶσθαι: cf. Ecl. Hist. 349,26 ἐν δὲ τῷ αὐτὸν ἑστιᾶσθαι. **81** Τῶν δὲ Ἀράβων ὁπλιζομένων: eodem initio utuntur Theoph. 382,31, Ecl. Hist. 350,6, Cedr. I 786,1, sequuntur autem alii contextus.

monotheletes as having obtained deeper insight than the others, and that, without having any knowledge about natural or purposive will; but as if pursuing glory by such a judgement he gave a full interpretation of it to the most highly qualified scholars.
Once after watching the chariot races he went to the Zeuxippos bath with the victors; and having bathed with them in great hilarity he invited the horse-drivers for a common dinner. In the middle of the banquet he was deprived of his eye-sight by some prominent members of the senate, having exercised imperial power during two years.
Sayings of the emperor Philippikos.
The emperor Philippikos used to say that taking action was no more absolutely necessary for an emperor than speaking. He should therefore not have his hands ready, but his tongue sharp.
He once observed a church-robber who defended his case at court in an off-hand way, and said to him: "how did you dare to do what you did, being so shy of tongue?"
He was a fervent lover of horsemen and fond of performances at the theatre, using as a motive that the races in the hippodrome were good preparatory instruction for war-fighting. And to someone who had advised him not to dine together with actors and jokers, he said: "why not, if it's a first-rate artist? As for me", said he, "I cannot stand an unskilled orator either".
During his rule he was accustomed to say: "even from the very left wing the emperor ought to command the right wing".

86 Artemios, also called Anastasios. After Philippikos, Artemios became emperor of the Romans. He tasted of all sorts of literature, but proved himself not inexperienced in war-fare either, albeit that he gained some victories by his own efforts, others by entrusting affairs to more competent people. And when the Arabs began to arm themselves for an attack on the city, he provided her with corn, put the armaments in readiness and fortified her by strengthening the walls. But in the eyes of the maritime force he was not suitable at all, but burdensome and a nuisance. At one moment they even shouted 'down with him' and burst into open mutiny. They left the site of war and rode towards the city, but having arrived near Adramyttium they found there a pious private citizen, Theodosios, and on the spot they deemed him worthy of the imperial title. As often as he tried to escape, he was caught each time by the military and hailed again and again as emperor, and thus, as it were

---

83 κατωχύρωσε: Ecl. Hist. 350,11; Theoph. 384,13: ὀχυρώσας. **87** εὐσεβῆ καὶ ἀπράγμονα: idem habet Ecl. Hist. 350,27–28 = Cedr. II 18–19. Theoph. 385,22–23 ... ἀπράγμονά τε καὶ ἰδιώτην, sed Zon. III 246,8 Θεοδόσιόν τινα πράκτορα τῶν δημοσίων τελῶν, ἰδιώτην ἄνδρα ...! Vide autem et ibid. 247,12–14. Iterum scribit Ecl. Hist. 351,26–27 in fine capitis de Theodosio: ἰστέον δὲ ὅτι οὗτος ὁ Θεοδόσιος ἦν ἐκλήπτωρ τῶν δημοσίων φόρων· εὐσεβὴς δὲ καὶ ἀπράγμων.

ἀξιωθεὶς ὥσπερ ὠθούμενος παρ' αὐτῶν εἰσῆλθεν εἰς τὰ βασίλεια. Ὁ δὲ βασιλεὺς Ἀρτέμιος εἰς Νίκαιαν καὶ πρότερον διαπεφευγώς, ἐπειδὴ τὸν Θεοδόσιον εἶδε τῆς βασιλείας κρατήσαντα, τὸ μοναδικὸν ἐπενδύεται σχῆμα καὶ ἀειφυγίαν ἐν Θεσσαλονίκῃ καταδικάζεται, δύο ἔτη βασιλεύσας Ῥωμαίων. Καὶ πάντες μὲν τῷ βασιλεῖ Θεοδοσίῳ ὑπέκυψαν, Λέων δὲ ὁ ἐξ Ἰσαυρίας τὴν ἑῴαν ἀντιπιστευθεὶς παρὰ τοῦ βασιλέως Ἀρτεμίου οὐχ ὑπέκυψε τῷ αὐτοκράτορι Θεοδοσίῳ, ἀλλὰ προσλαβόμενος κοινωνὸν τῆς βουλῆς Ἀρτάβασδον τὸν Ἀρμένιον προδήλως τῷ Θεοδοσίῳ ἀντέκειτο καὶ διὰ σπουδῆς εἶχεν, ὅπως ἂν αὐτὸν κατενέγκοι τῆς βασιλείας. Ἦν δὲ τοῦτο ῥᾷστον παντί, τοῦ Θεοδοσίου ἀφελοῦς ὄντος ἀνδρὸς καὶ διευλαβουμένου ἀεὶ δυσμεταχείριστον οὖσαν τὴν ἀρχὴν καὶ πολλοῖς εἰθισμένην κυμαίνεσθαι πράγμασιν. Ὁ μέντοιγε Ἀρτέμιος δύο ἔτεσιν ἐπιβεβιωκὼς τελευτᾷ.

87 ⟨Θεοδόσιος⟩. Θεοδοσίῳ τῷ βασιλεῖ ἀγαθὸν μὲν τὸ ἦθος καὶ ὁ βίος σεμνός, οὐ προσήκων δὲ αὐτοκράτορι δραστηρίῳ. Τῶν γὰρ πραγμάτων τηνικαῦτα μαινομένων καὶ τῶν βαρβάρων πᾶσαν τὴν ὑπὸ Ῥωμαίοις ληϊζομένων τί οὗτος ὤνησεν ὑποχωρῶν πᾶσι καὶ ὑποστελλόμενος καὶ δάκρυα ἀφιεὶς καὶ μαλακώτερον τῶν πραγμάτων ἁπτόμενος; Καλὰ μὲν γὰρ καὶ ταῦτα (πῶς γὰρ οὔ;) καὶ ἐπαίνων μεγάλων ἄξια, ἀλλὰ παντὶ βασιλεῖ δεῖ μὲν καὶ σεμνότητος, δεῖ δὲ καὶ ὀξύτητος καὶ γενναίου φρονήματος. Ἔνθεν τοι ὁ ἐξ Ἰσαυρίας Λέων ὁ τηνικαῦτα τὴν ἑῴαν ἐπιτραπεὶς τῆς χαυνότητος τοῦ κρατοῦντος καταστοχασάμενος ἐπανάστασιν βουλεύεται κατ' αὐτοῦ καὶ σὺν παντὶ τῷ στρατεύματι ἐπὶ τὰ ἀνάκτορα ἔρχεται. Ὁ δὲ Θεοδόσιος οὐδὲ πρὸς βραχὺ ἀπήρκεσεν, ἀλλὰ μερὶς τῆς ἐκκλησίας γενόμενος παραχωρεῖ τῷ Λέοντι τῆς ἀρχῆς, δύο ἔτη τὴν βασιλείαν ἰθύνας.

88 Λέων Ἴσαυρος ὁ Σύρος. Θηρίον ὡς ἀληθῶς ὁ βασιλεὺς Λέων ὁ Ἴσαυρος καὶ τὴν ψυχὴν καὶ τὸ ὄνομα. Ὃς κατὰ μαντείαν τὴν βασιλείαν Ῥωμαίων λαβὼν ἐλύττησεν εὐθὺς κατὰ τῶν θείων εἰκόνων, διαλυσάμενος τὸ ὑποσχεθὲν χρέος τοῖς μάντεσι. Καὶ τὴν τῆς ἐκκλησίας μορφὴν παρέξεσε, κατέστρεψε δὲ καὶ ἱεροὺς ναοὺς καὶ σεμνὰ φροντιστήρια. Καὶ τὸν Χριστιανισμὸν ὁ ἀσεβέστατος ἀναισχύντως ἐδίωξεν οὐδὲ φροντίσας τῶν καταδραμόντων Σαρακηνῶν τὰς ὑπὸ Ῥωμαίοις πόλεις καὶ χώρας, ἀλλὰ ταύτην μόνον φροντίδα θέμενος εἰ ἀναρραγεῖεν τῶν ἐκκλησιῶν οἱ θεμέλιοι. Παῖδα δὲ γεννήσας, ὃν Κωνσταντῖνον ὠνόμασε, προσήνεγκε μὲν τῷ θείῳ λουτρῷ ἔτι παῖδα ὄντα, κατεβάπτισε δὲ τοῦτον μᾶλλον ἢ ἐβαπτίσατο,

---

90 εἰσῆλθον **4** ἀφελῶς possis ἀφελῶς ⟨ἔχ⟩οντος **7** Sine ullo signo hic sequitur caput de Constantino Heraclii filio = § 77 **8** Θεοδόσιος addidi **10** Ῥωμαίους: cf. l. 27. Vide et Renauld, *Et.* 158, 159 **16** καταστοχασάμενοι βούλεται **23** et **35** εἰκόνων : κανόνων

90–91 cf. Theoph. 385,24–27, Ecl. Hist. 350,30–31, Cedr. I 786,19–20, Zon. III 246,9–11,

pushed by them, he took possession of the palace. Meanwhile the emperor Artemios had already fled to Nicaea and when he saw that Theodosios had obtained the empire, he donned the monk's habit. He was also condemned to banishment for life in Thessalonica, having been two years emperor of the Romans.
Everybody settled for Theodosios as emperor, but not Leo from Isauria, to whom the emperor Artemios had entrusted the eastern part as a reward. He made Artabasdos the Armenian participant in his plans and started an open attack on Theodosios eager to make him vacate the imperial throne. This would have been a simple job for anybody, since Theodosios was a simple soul who always shrank from occupying himself with an empire which was hard to manage and continually turbulent from many causes.
As to Artemios he lived another two years before he died.

87 Theodosios. The emperor Theodosios had a good character and a serious way of life, but nothing proper to an emperor with a job to do. And he was confronted at that moment with a chaotic situation and with barbarians plundering the whole of the Roman territory. But what did he gain by making concessions to everybody, by soft-pedalling everything, by shedding tears, by tackling affairs too gently? To be sure such an attitude is noble, is it not, and highly praise-worthy, and, of course, every emperor needs seriousness; but fierceness and bravery are just as important. Hence Leo from Isauria, to whom at that time the eastern part had been entrusted, made a butt of the slackness of the ruler. He engineered a rebellion against him and advanced with his whole army on the imperial palace. Theodosios' resistance did not last even a short time: he entered the Church and left the empire to Leo, having steered the state during two years.

88 Leo the Isaurian from Syria.
The emperor Leo (= Lion) the Isaurian was truly a beast, no less in his soul than in his name. He had taken possession of the Roman empire as predicted by an oracle, and in order to fulfill the bargain made with the fortune-tellers, he immediately started to rage furiously at the godly icons. Thus he disfigured the face of the Church by destroying holy temples and pious monasteries. The very godless man persecuted Christianity in a shameless manner: he was not in the least concerned about the Saracens who razed Roman towns and lands, but he concentrated his concern only on the destruction of the very foundations of the churches. He begot a son, whom he named Constantine, and, indeed, he presented him at a tender age to receive the holy bath, but he

---

Man. 4134–4139, Anon. Sath. 120,17–19. **91–94** cf. Theoph. 386,10–12, Ecl. Hist. 351,7–9, Cedr. I 787,4–6, Zon. III 247,8–11. **94–3** cf. Theoph. 386,15–17, Ecl. Hist. 351,9–12, Cedr. I 787,7–9, Zon. III 247,14–248,3. Vide et Man. 4164–4170. **21** *vide comm.* **23** ἐλύττησεν: cf. Zon. III 257,2–3 ἐντεῦθεν ὁ Λέων ἄρχεται τοῦ θεομαχεῖν καὶ κατὰ τῶν σεπτῶν εἰκόνων ἐλύττησε. *Vide* et *comm.*

καὶ τοῖς θείοις κατέκλυσεν ὕδασι. Τέσσαρα δὲ ἐπὶ τοῖς εἴκοσι βασιλεύσας ἔτη νόσῳ κατασχεθεὶς τελευτᾷ.

89 Ὁ Κοπρώνυμος. Ὁ τοῦ Λέοντος υἱὸς Κωνσταντῖνος καὶ τῆς βασιλείας καὶ τῆς ἀσεβείας διάδοχος γενόμενος τοῦ πατρὸς μακρῷ τοῦτον ταῖς κατὰ τῶν θείων εἰκόνων μανίαις ὑπερηκόντισεν. Ἀναγεννώμενος δὲ τῷ θείῳ λουτρῷ κόπρον κατὰ τῶν μυστικῶν ὑδάτων ἐκκρίνει· ἔνθεν τοι καὶ Κοπρώνυμος ἐπωνόμασται. Οὗτος οὐκ ἀσεβὴς μόνον, ἀλλὰ καὶ γόης καὶ ἀρρητοποιὸς καὶ ἐπῳδαῖς χαίρων καὶ ταῖς κατὰ τῶν ἀδύτων μαντείαις ἱερεῖά τε ἀνατέμνων, ἐφ' ᾧ τε σπλάγχνα τούτων θεάσασθαι καὶ τεκμήρασθαι ἀπὸ τούτων τὰ ἐσόμενα. Θεάτρων τε ἐραστὴς καὶ οἷον ὄργανον
273v ἄντικρυς τοῦ ἀντιχρίστου | φαινόμενος. Ἐξεῖλε δὲ καὶ ἀπὸ τῶν θεραπόντων Χριστοῦ τὸ 'ἅγιος' ὄνομα καὶ τὰ ἱερὰ τούτων σώματα διέπτυσε καὶ κατέκαυσεν. Ἐξοχώτατα δὲ πάντων ὁ δείλαιος τῇ μητρὶ τοῦ θεοῦ καὶ παρθένῳ ἐμάχετο. Ἐτεθνήκει δὲ πυρὶ θείῳ φλεγόμενος καὶ τοῦτο πολλάκις ἀναβοῶν, ζήσας ἐπὶ τῆς βασιλείας ἔτη τέσσαρα ἐπὶ τοῖς τριάκοντα.

90 Λέων ἐκ τῆς Χαζάρης. Θηρίον καὶ οὗτος ὁ Λέων, θηρίον ἄντικρυς τὴν ψυχήν, κατ' οὐδὲν ἐλάττων τοῦ πάππου τήν τε ἀσέβειαν καὶ τὴν κακοήθειαν. Ἀλλὰ τὰ πρῶτα μὲν εὐσεβεῖν ὑπεκρίνετο καὶ τὴν περὶ τὸ θεῖον δόξαν μεταποιεῖν ἐπὶ τὸ ἀκριβέστερον, εἶτα τὸ προσωπεῖον ἀφελόμενος τὸν ὑποκείμενον ἐγύμνωσε δράκοντα καὶ γυμνῇ κεφαλῇ κατὰ τῶν ἐκκλησιῶν χωρεῖ. Καὶ μήτηρ αὐτοῦ μὲν ἡ Χαζάρα — ἐθνικὸν δὲ τὸ ὄνομα — , γυνὴ δὲ ἡ εὐσεβεστάτη Εἰρήνη, ἐξ ἧς Κωνσταντῖνον γεννᾷ τὸν μετ' αὐτὸν βασιλεύσαντα. Ἐξελᾷ μέντοιγε ταύτην τῶν ἀνακτόρων ὡς μὴ ἑπομένην, ἀλλὰ καὶ σφοδρῶς ἀντικειμένην οἷς οὗτος ἐθρήσκευε. Περὶ δὲ τὰς πολυτιμήτους τῶν λίθων ἐπτοημένος τὴν χρυσῆν ταινίαν, ἣν ἀφιέρωσε Μαυρίκιος τῷ θεῷ, λαβὼν ἀνεδήσατο. Καὶ πυρετὸν εὐθὺς σφοδρὸν τῆς ἱεροσυλίας ἀντιλαμβάνει, ᾧ φλεγόμενος ἐτελεύτησε ἔτη πέντε τὴν βασίλειον ἀρχὴν κατασχών.

91 Κωνσταντῖνος καὶ ἡ μήτηρ Εἰρήνη. Δέον πρὸς ἀλλήλους εἰρηνεύειν Εἰρήνην καὶ τὸν υἱὸν Κωνσταντῖνον τὴν πρώτην εἰρήνην ποιησαμένους καὶ σύνοδον ἐν Κωνσταντινουπόλει ἀθροίσαντας περὶ τῆς τῶν θείων εἰκόνων τιμῆς τε καὶ προσκυνήσεως, οἱ δὲ κατ' ἀλλήλων ἐτράποντο καὶ

---

42 ἱερὰ : ἱερέως **60** Εἰρήνης Δέον : Λέον **62** in margine : † σύνοδος περὶ τῶν ἁγίων εἰκόνων

33–34 τῆς βασιλείας καὶ τῆς ἀσεβείας διάδοχος γενόμενος τοῦ πατρός: cf. Ecl. Hist 356,27–28 οὗτος τὴν πατρῴαν τε βασιλείαν καὶ δυσσέβειαν διαδεξάμενος < Georg. Mon. 750,18 sqq. = Cedr. II 3,4–5. Cf. etiam Zon. III 264,14–15. **41–42** ἀπὸ τῶν θεραπόντων Χριστοῦ κτλ.: cf. Georg. Mon. 751,4–6 ... μὴ λέγεσθαί τινα τῶν θεραπόντων Κυρίου τὸ παράπαν ἅγιον, ἀλλὰ καὶ τὰ λείψανα τούτων εὑρισκόμενα διαπτύεσθαι, ... ≈ Ecl. Hist. 356,34–357,1. **47** Λέων ἐκ τῆς Χαζάρης: cf. Ecl. Hist. 362,27 Λέων ὁ ἐκ

had him rather ducked than baptised by plunging him totally into the godly waters.
After a reign of twenty-four years he died of a wasting disease.

89 Kopronymos ('Turdyman'). Leo's son Constantine was his successor not only to the throne but also to his godlessness. He surpassed his father by far, however, with his maniacal outbursts against the godly icons. At the occasion of his rebirth in the holy bath he relieved himself in the mystic waters; hence he was nicknamed Kopronymos ('Turdyman'). Not only godless was he, but also a sorcerer, one who practised unmentionable vices, one who loved exorcisms and divinations within sanctuaries, where he cut open victims in order to look at their entrails and to deduce the future from them. He was fond of performances at the theatre and revealed himself absolutely as an instrument of the Antichrist. He deprived the servants of God of the name 'holy', spat on their pious bodies and burnt them. But the wretch was totally beyond compare in his struggle against the Mother of God and Virgin. He died being inflamed by a godly fire, often screaming out in pain after a thirty-four years' life on the throne of the empire.

90 Leo from Chazara. No less a beast was this Leo, fully with the soul of a beast, in nothing inferior to his grandfather as to godlessness and wickedness. At first, however, he gave the impression of piety and of a change of course towards greater orthodoxy as to the godly rule, next he threw off his mask, revealed the hidden serpent and opened a bare-faced attack on the churches. His mother was a Chazar(ian) — that is the name of a tribe —, his wife was the absolutely orthodox Irene, by whom he begot Constantine who succeeded him. She was, however, chased by him from the palace, because she not only disobeyed but even fiercely resisted his religious practices. He showed such a passionate excitement for precious stones that he took the golden crown, which Mauricius had dedicated to God, and put it on. A violent fever followed this deed of sacrilege, wasted by which he died after a five years' reign.

91 Constantine and his mother Irene. Irene and her son Constantine should have lived in an irenic way with each other after they had reached the first irenic solution by summoning a synod at Constantinople on the honouring and worshipping of the holy icons. Instead, they went for each other, hit and

---

τῆς Χαζάρας, Cedr. II 19,1, Zon. III 282,16. **49** εὐσεβεῖν ὑπεκρίνετο: idem habet Zon. III 283,2, cf. Ecl. Hist. 362,29 εὐσεβὴς εἶναι προσποιησάμενος, vide et Theoph. 449,14, Cedr. II 19,4, Georg. Mon. 765,9–10 ὃς ἔδοξε μὲν πρὸς ὀλίγον χρόνον εὐσεβὴς εἶναι, ... **50–51** εἶτα ... δράκοντα: cf. Zon. III 284,6–7 τὴν ἀλωπεκῆν ἀποδὺς τὸν ἐντὸς κρυπτόμενον ἐδημοσίευσε λέοντα, vide et Theoph. 453,14, Ecl. Hist. 363,35 **54–55** *vide comm.* **56** ταινίαν, ἣν κτλ.: ~ Zon. III 284,12 sqq. ... στέμματος, ὅπερ ὁ Μαυρίκιος τῷ θεῷ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ἀνέθετο, καὶ τοῦτο λαβὼν καὶ τῇ κεφαλῇ περιθέμενος εὐθὺς ἐλήφθη σφοδρῷ πυρετῷ, ... *Vide* et *comm.* 11–15 **58** τῆς ἱεροσυλίας: *vide comm.* 11–15

ἀνὰ μέρος ὤθουν καὶ ἀντωθοῦντο, καὶ νῦν μὲν ἡ Εἰρήνη τὴν μοναρχίαν ἐλάμβανε, νῦν δὲ μόνος ὁ Κωνσταντῖνος τοῖς ἀνακτόροις ἀντικαθίστατο καὶ αὖθις ἡ μήτηρ καὶ πάλιν ὁ παῖς, ἕως οὐκ εἰς καλὸν αὐτοῖς τὸ ἀμφίβολον τῆς γνώμης ἀπετελεύτησεν. Ὁ μὲν γὰρ παῖς Κωνσταντῖνος τῆς μητρὸς ἐγκελευσαμένης ἀποτυφλοῦται τὰ ὄμματα, ὁπηνίκα καὶ σκότος κατὰ πάσης ἐγένετο γῆς. Ἡ δὲ μήτηρ μετ' οὐ πολὺν χρόνον εἰς αὐτὴν τὴν βασιλείαν ἐπιβουλεύεται καὶ ὁ ἀπὸ γενικῶν Νικηφόρος ἐγκρατὴς τῆς ἀρχῆς γίνεται. Ἐβασίλευσε δὲ Εἰρήνη σὺν τῷ υἱῷ Κωνσταντίνῳ ἔτη δέκα, τἆλλα μὲν εὐσεβής, τῷ δὲ πρὸς τὸν υἱὸν φθόνῳ, ὡς ἔγωγε κρίνω, οὐκ ἀγαθή.

92 Νικηφόρος ἀνδράδελφος Εἰρήνης τῆς βασιλίσσης. Οὗτος ὁ Νικηφόρος οὐκ ἀπὸ τροπαίων βαρβαρικῶν, ἀλλ' ἀπὸ τροπαίων θεοστυγῶν κατὰ πασῶν τῶν ἀρετῶν ἔσχε τὸ ὄνομα. Οὐ γὰρ οἶδα, εἴ τις ἄλλος τῶν βασιλέων ἐπίκλοπος ἐγεγόνει καὶ δολερώτατος. Τὴν βασιλίδα Εἰρήνην μυρία διαψευσάμενος, εἶτα δὴ εἰς τὴν τῆς Πριγκίπου νῆσον ὑπερορίσας καὶ πάντα μὲν διαλυμηνάμενος πράγματα, πᾶσαν δὲ κακίαν καὶ θηριωδίαν κατὰ πάντων ἐπιδειξάμενος, ἐς τοσοῦτον γοῦν αὐτῷ ἡ κακία ἐκεκορύφωτο, ὡς αὐτὸν ἐκεῖνον ὁμολογεῖν ὑπὸ δαίμονός τινος πρὸς πᾶσαν ἐλαύνεσθαι κακοήθειαν. Ἀμέλει τοι, ἑνὸς τῶν θεραπόντων αὐτῷ εἰρηκότος, ὡς δεῖ τόνδε ἀγαθόν τι δρᾶσαι, ἑαυτὸν τῆς πονηρᾶς ψυχῆς βδελυξάμενος 'χρῶ' φησι 'σὺ πρὸς τοῦτον τῇ ἀγαθότητι· παρὰ γὰρ τῆς ἐμῆς γνώμης μηδέν τι καλόν ποτε γενήσεσθαι προσδοκήσειας.' Κατέσχε δὲ τὴν βασιλείαν μῆνας ἐννέα ἐπὶ τοῖς ὀκτὼ ἔτεσιν.

93 Σταυράκιος ὁ υἱὸς Νικηφόρου. Οὗτος ὁ βασιλεὺς Σταυράκιος μέχρι ὀνόματος βασιλεύς, τὰ δ' ἄλλα καὶ βασιλείας καὶ πάσης δυναστείας ἀνάξιος, τὴν μὲν γνώμην ἀνόητος, τὴν δὲ μορφὴν δυσειδέστατος, οὔτε λόγοις ὡμιληκώς, οὔτε πρὸς τὰ πράγματα δεξιώτατος. Ἅπαξ γάρ ποτε ἐν πολέμῳ παρασχὼν καὶ τὸν ὦμον πληγεὶς θανατηφόρον ἔσχε τὸ τραῦμα. Ἔνθεν τοι ἀπογνοὺς τὴν ζωὴν τῇ γυναικὶ ἐπειρᾶτο Θεοφανοῖ τὴν βασιλείαν καταλιπεῖν. Ἀλλ' ὁ εὐσεβὴς Μιχαήλ, ὃν ὁ Νικηφόρος γαμβρὸν ἐπὶ τῇ θυγατρὶ ἐποιήσατο, ὑπὸ τοῦ πλήθους εἰς τὴν βασιλείαν ἀναγορεύεται. Ὅπερ ὁ Σταυράκιος γνοὺς εὐθὺς σὺν τῇ γυναικὶ ἀποκεί-

---

64 μοναχίαν **68** in margine : τύφλωσις τοῦ υἱοῦ Κωνσταντίνου **69** πολὺ **75** ἀποτροπαίων (bis)

68–69 ≂ Matth. 27,45 **70** ὁ ἀπὸ γενικῶν Νικηφόρος: cf. Ecl. Hist. 369,20–21: Νικηφόρος πατρίκιος καὶ γενικὸς, Theoph. 476,4 = Cedr. II 30,6 = Zon. 301,10–11 Νικηφόρος πατρίκιος καὶ γενικὸς λογοθέτης, cf. Georg. Mon. 771,21. **74** Νικηφόρος ἀνδράδελφος Εἰρήνης: ≂ Ecl. Hist. 370,2 Νικηφόρος ὁ ἀνδράδελφος Εἰρήνης (vide et titulum), ubi scholium habet hanc notam: Νικηφόρος ὁ ἀνδράδελφος Εἰρήνης τῆς βασιλίσσης,

hit back in turn, and now Irene exercised absolute power, now Constantine took possession of the palace alone, again the mother, again the son, until their conflict resulted in a disaster for both. By order of the mother Constantine, her son, was blinded, whence at that time the whole world was envelopped in darkness. Not much later, however, his mother too found herself confronted by a conspiracy to gain the empire, and Nikephoros, a former minister (of finances), took control of the government. Irene reigned together with her son ten years, in other respects a pious, but all the same a bad woman, in my opinion, because of her jealousy against her son.

92 Nikephoros, brother-in-law of the empress Irene. This Nikephoros (= 'the Victorious') did not deserve his name from victories won against barbarians, but from god-forsaken trophies gained from fighting against every virtue. I know no other emperor more tricky and more highly treacherous than he. He deceived the empress Irene by innumerable means and had her afterwards banished to the island Prinkipos. He ruined everything, demonstrated all forms of badness and bestiality against everybody, and his wickedness reached such an apex that he himself confessed to being driven to all this malice by a devil. In any case, when one of his servants had said to him that he ought to do at least something good if he felt any loathing because of his bad soul, he said: "you, apply your own goodness to this poor soul, for you cannot expect any good whatsoever to arise from my mind at any time". He occupied the throne eight years and nine months.

93 Stavrakios the son of Nikephoros. This emperor Stavrakios was only nominally an emperor, but for the rest unworthy of the empire or any form of power, being foolish of mind, very ugly of appearance, unfamiliar with literature, incapable of action. Once he appeared in battle and received a deadly wound at the shoulder. Being in despair for his life he tried to leave the empire in the hands of his wife Theophano. But the people proclaimed the pious Michael emperor, whom Nikephoros had married to his daughter and made his son-in-law. As soon as Stavrakios had been informed about

---

ὁ σφαγεὶς ἐν Βουλγαρίᾳ ιζ κε. **77–78** cf. Zon. III 303,7–8 καὶ ὃς αὐτίκα εἰς τὴν νῆσον αὐτὴν ὑπερώρισεν, ἣ τοῦ Πρίγκιπος ἐπωνόμασται ~ Theoph. 478,26 παρευθὺς ἐξώρισεν αὐτὴν ἐν τῇ νήσῳ τῆς Πριγκίπου, cf. Ecl. Hist. 370,22–23, Cedr. II 31,3. Georg. Mon. 772,7 autem: ὃς Εἰρήνην αὐτίκα περιορίσας ἐν τῇ Λέσβῳ νήσῳ, ... **89** δυσειδέστατος: cf. Ecl. Hist. 372,3 Σταυράκιον, δυσειδῆ καὶ ἀφελῆ ὄντα, vide et Zon. III 304,14 Σταυράκιον ... εἰδεχθῆ τε λίαν ὄντα καὶ ἀφελῆ καὶ μήτε εἶδος μήτε τὴν γενναιότητα μήτε σύνεσιν ἔχοντα τυραννίδος ἐπάξια. **90–92** *vide comm.* **92–93** τῇ γυναικὶ ... καταλιπεῖν: cf. Zon. III 312,1 ... βουλόμενος τὴν βασιλείαν τῇ ἑαυτοῦ συμβίῳ καταλιπεῖν, Cedr. II 43,1–3 ἐβούλετο ..., τῇ δὲ γαμετῇ Θεοφανοῖ τὴν βασιλείαν καταλιπεῖν. Vide et Theoph. 492,25, Ecl. Hist. 372,31. **93–95** cf. Ecl. Hist. 372,30–373,4 < Georg. Mon. 776,5 sqq., cf. Theoph. 493,20–25. Breviter Zon. III 312,5–6.

ρεται καὶ τῶν ἀνακτόρων κάτεισιν. Ἐν μοναστηρίῳ δέ τινι βραχύν τινα χρόνον ἐπιβιοὺς θάπτεται τελευτήσας ἐν τῇ μονῇ τοῦ Σατύρου, ἔτος ἓν βασιλεύσας πρὸς δύο μησίν.

94 Μιχαὴλ ὁ εὐσεβής. Οὗτος ὁ βασιλεὺς καὶ τὸ γένος περιφανὴς καὶ τὴν δόξαν ὑπέρλαμπρος ἐπίσημός τε τὴν ἀρετὴν καὶ τὸ εἶδος ἐπιεικής, εὐσεβέστατός τε εἴπερ τις ἄλλος καὶ πάσαις βρύων ταῖς ἀρεταῖς, βασιλεύειν δὲ ἢ ὅλως ἄρχειν τοῦ δέοντος μαλθακώτερος· οὔτε γὰρ ὀργὴν εἶχεν ἐπὶ τοὺς πονηρούς, οὔτε τὰ πράγματα δραστήριος ἦν. Πονηροῖς δὲ ἀνθρώποις πιστεύων καὶ κακοήθεσι πάντα συνέτριψε καὶ διέφθειρεν οὐ κατὰ κακίαν, ἀλλὰ κατὰ ἀφέλειαν. Κατὰ Βουλγάρων δὲ ἐκστρατεύσας καὶ ἀσυντάκτως τὸν πόλεμον ποιησάμενος κατὰ κράτος ἡττήθη. Λέων δὲ ὁ Ἀρμένιος τὴν τῆς ἑῴας τηνικαῦτα ἐπιτετραμμένος ἀρχὴν καιρὸν εὔθετον ἐπιβουλῆς εὑρηκὼς ὁπλίζεται κατ᾽ αὐτοῦ. Ὁ δὲ καὶ ἀκροθιγῶς τοῦτο ἀκούσας αὐτίκα τὸ μοναδικὸν σχῆμα σὺν γυναικὶ καὶ τέκνοις ἀμφιεσάμενος εἰς τὸ πλησίον τῆς πόλεως νησίον τὴν Πλάτην περιορίζεται ἐν ᾧ καὶ τελευτᾷ, ἔτη δύο τὴν ἀρχὴν κατασχών.

95 Λέων ὁ Ἀρμένιος. Γενναῖος μὲν ἀνὴρ ὁ Ἀρμένιος Λέων ὁ βασιλεὺς καὶ πλεῖστα ἀπὸ τῶν βαρβάρων ἀνῃρημένος τρόπαια, ὑποκαθήμενος δὲ τὸ ἦθος καὶ δόλου μεστός. Εὐσέβειαν γοῦν ὑποκριθεὶς ἐν ἀρχῇ τοῦ κράτους, αὐτίκα μεταβάλλεται καὶ κατὰ τῶν θείων εἰκόνων κατατολμᾷ. Τὸν δὲ τῶν Βουλγάρων ἀρχηγὸν ἀνελεῖν μὲν εὐμηχάνως ἐπεχείρησεν, οὐκ ἔτυχε δὲ τοῦ σκοποῦ· ὅθεν οὗτος γνοὺς τὴν ἀπάτην πολλῶν κακῶν τῇ βασιλείᾳ Ῥωμαίων γέγονεν αἴτιος. Μιχαὴλ δὲ ὁ Ἀμορραῖος ὑποπτευθεὶς ἐπὶ τυραννικαῖς αἰτίαις τῷ βασιλεῖ, ὃς δὴ καὶ ἐπὶ τούτῳ πολλοὺς εἶχε τοὺς συνωμότας, αὐτίκα δεσμεῖται καὶ ἐν εἱρκτῇ βάλλεται. Δείσας δὲ μή τι πάθοι δεινότερον, ἕκαστον τῶν συνωμοτῶν τὴν προσήκουσαν ἐπεζήτει
274ʳ βοήθειαν. Ἦν δὲ καὶ ὁ λεγόμενος παπίας τῆς πράξεως κοινωνός. | Οὗτοι οὖν δείσαντες κατ᾽ αὐτὸ τὸν Λέοντα μὲν ἀναιροῦσιν ἔτη ἑπτὰ βασιλεύσαντα, τὸν δὲ Μιχαὴλ βασιλέα καθίστασαν.

96 Μιχαὴλ Ἀμορραῖος ὁ Τραυλός. Οὐδὲ Μιχαὴλ ὁ Ἀμορραῖος παρὰ τὴν βασιλείαν καλλίων τοὺς τρόπους ἐγένετο, ἀλλὰ δόξας τὴν ἀρχὴν ἀγαθὸς καὶ τὴν περὶ τὸ θεῖον δόξαν εὐθύς, ἐλευθερίαν τε τῇ τῶν θείων εἰκόνων παρασχὼν προσκυνήσει, ἔπειτα πολεμεῖ ταύταις καὶ τὴν τοῦ Ἀρμενίου Λέοντος ἀνανεοῖ αἵρεσιν. Εὐτυχὴς δὲ τὰ εἰς τὴν βασιλείαν γενόμενος πολλοὺς ἀναιρεῖ τυραννήσαντας. Υἱὸν δὲ γεννήσας Θεόφιλον ἐπωνόμασε καὶ τὴν οἰκείαν δυσσέβειαν τῇ τοῦ παιδὸς ψυχῇ ἀπεμάξατο, μισόθεον ἀλλ᾽ οὐ φιλόθεον τοῦτον ἀπεργασάμενος. Ὃς δὴ καὶ μετὰ τὴν

---

2 Σατύρου : eadem forma in Ecl. Hist. 373,5 (ms.; edit. Σταύρου) et in Cedr. II 43,8 **12** ἐπιπεπραμμένος **15** ἀμφιασάμενος

this, he took the tonsure together with his wife and left the palace. He lived a short time in a monastery, and was buried after his death in the convent of Satyros, having reigned one year and two months.

94 The pious Michael. This emperor descended from a splendid family and had also a high reputation himself, because of his remarkable virtue and his noble appearance. He was pious as nobody else and richly gifted with many good qualities, but too weak to be an emperor or a ruler in general: he did not take strong action against evil-doers, nor did he show much activity in state affairs. By trusting criminal and evil people he spoiled and ruined everything, less by incapacity than by simplicity. He advanced on the Bulgarians, conducted the war without due order and was seriously beaten. Leo the Armenian, at that time commander of the eastern part, saw in this a good opportunity to conspire and raise arms against him. No sooner had he heard of it than he put on a monk's habit together with his wife and children. He was confined to the island Plate near the city, where he also died. He exercised rule during two years.

95 Leo the Armenian. The emperor, the Armenian Leo, was a brave warrior who won a great number of trophies against the barbarians. His morals were not that noble and he was full of cunning. At the beginning of his rule he still suggested piety, but shortly after his behaviour changed and he insolently attacked the holy icons. His attempt to kill the leader of the Bulgarians by means of a cunning plan had not the wished for result. No sooner had this man seen through the deceit than he did great harm to the Roman empire.
And Michael the Amorian had raised the emperor's suspicion that he would usurp the throne (and, indeed, he had canvassed many conspirators for that purpose) and had been caught and imprisoned. Afraid of even worse treatment, he appealed to each of the conspirators to give the promised help. Also the so-called 'papias' (= doorkeeper of the palace) was made a party to the plan. Thus fearing repercussions they killed Leo after seven years' rule and made Michael emperor.

96 Michael the Amorian, the stammerer. Michael the Amorian turned out to be no better qualified for ruling. At first he seemed to be a good ruler and an orthodox believer of the godly dogma, and he gave permission for free worship of the holy icons; later on, however, he fought against them and renewed the heresy of Leo the Armenian. Having obtained the empire in a lucky way he disposed of many rebels. He begot a son whom he named Theophilos, but instead of making him a godbeloved person, he stamped his own godforsaken godlessness upon the soul of his son, who after succeeding

---

95–3 cf. Ecl. Hist. 373,4–5, Cedr. II 43,5; vide et Georg. Mon. 776,10–11, qui autem monasterii nomen τὰ Βρακά enuntiat. **14–16** τὸ μοναδικὸν σχῆμα ... τελευτᾷ: = Ecl. Hist. 373,26–28, qui habet autem ἐτελεύτησε. < Georg. Mon. 776,20 sqq. Cf. etiam Theoph. 502,26–29, Cedr. II 48,16–49,2, C. Th. 19,15–20,2, Zon. III 319,2–6.

τοῦ πατρὸς βασιλείαν παντοδαποῖς κακοῖς τοὺς εὐσεβοῦντας περιεστοίχησεν. Ὁ γοῦν πατὴρ τούτου κατέστη παράδειγμα τῆς αἱρέσεως καὶ κῦμα ἐπὶ κύματι κατὰ τῆς ἱερᾶς ἡμῶν πίστεως ἤγειρε. Νεφρίτιδι δὲ νόσῳ περιπεσὼν καὶ τὴν φυσικὴν ἔκκρισιν τὸ οὖρον ἐπισχεθεὶς τελευτᾷ, βασιλεύσας ἐννέα μῆνας ἐπὶ ὀκτὼ ἔτεσιν.

97 Θεόφιλος ὁ υἱὸς Μιχαὴλ τοῦ Ἀμορραίου.
Ὁ βασιλεὺς Θεόφιλος μετὰ τὴν ἀρχὴν γυναῖκα εἰσάγεται ἑαυτῷ Θεοδώραν τὴν ἐκ Παφλαγονίας, τὴν τοῦ δικαίου Φιλαρέτου ἐγγόνην τὴν θαυμασίαν Κασίαν ἀποπεμψάμενος, εἰποῦσαν 'ἐκ γυναικὸς ἐρρύη τὰ κρείττονα', ἐκείνου προειρηκότος 'ἐκ γυναικὸς ἐρρύη τὰ φαῦλα'· ἐπλήγη γὰρ ὁ ἀλιτήριος τὴν ψυχὴν διὰ τὴν ἀμώμητον παρθένον καὶ θεομήτορα. Οὗτος οὐκ εἰδὼς ὅτι μεσότης ἡ δικαιοσύνη ὑπερβολῆς 〈καὶ〉 ἐλλείψεως καὶ πᾶσα ὁμοίως ἠθικὴ ἀρετὴ πλέον ἢ προσῆκε τῷ δικαίῳ προσέσχεν. Ἐντεῦθεν ἀνοηταίνων δικαιοπραγεῖν μὲν ἐδόκει, οὐδὲν δὲ τῶν μελαγχολούντων διέφερεν, οὐ πρᾴως μεθιστῶν τὴν κακίαν καὶ τὸ ἄνισον μεταβάλλων εἰς τὴν ἰσότητα, ἀλλὰ πυρὶ καὶ σιδήρῳ καὶ ἀνοήτῳ ὠμότητι. Ἔνθεν τοι καὶ ἀναισθήτως τὴν βασιλείαν διήνεγκε. Καὶ τελευτᾷ ἔτη βιοὺς ἐν τῇ ἀρχῇ δώδεκα.

98 Μιχαὴλ ὁ υἱὸς Θεοφίλου καὶ Θεοδώρα ἡ ὀρθόδοξος αὐτοῦ μήτηρ.
Ἡ μὲν βασίλισσα Θεοδώρα πιστοτάτη ὁμοῦ καὶ συνετωτάτη, ὁ δὲ Μιχαὴλ ὁ υἱὸς τὴν μὲν ὀρθὴν δόξαν ἐπρέσβευεν, ἀνοητότατος δὲ ξυμπάντων ἀνθρώπων ἐγένετο. Ἐντεῦθεν γοῦν οὐ τοὺς τῆς ὀρθοδοξίας ἐς τὸ ἀκριβὲς κανόνας ἐτήρησεν, ἵππων δὲ ἁμίλλαις τοσοῦτον προσεῖχε τὸν νοῦν, ὡς καὶ αὐτὸν ἁρματηλατεῖν καὶ πολλοὺς τῶν ἐν τέλει τοῦτο ποιεῖν ἀναπείθειν. Τὸν δὲ ἐκ Μακεδονίας Βασίλειον ὑπερηγάπα τῆς γενναιότητος καὶ ἑτοίμως μὲν βασιλέα ἐποίει, ἑτοιμότερον δὲ καθῄρει. Εἶτα ὑπόπτως εἶχεν αὐτῷ καὶ ἀποθανεῖν προσέταττεν, ὁ δὲ περὶ τούτῳ δείσας σύνταγμα ἐπιβουλῆς ποιησάμενος προσέλαβε τὸν ἐκείνου θάνατον καὶ ἐξαπιναίως ἐπεισπεσὼν ἀναιρεῖ ἔχων μὲν ὅ τι εἴποι περὶ τῆς τοῦ αὐτοκράτορος ἀναιρέσεως εὔλογον, οὐ δίκαιον μέντοιγε πρᾶγμα πεποιηκώς. Καὶ ἀναιρεῖται ὁ Μιχαὴλ ἔτη βασιλεύσας ἓξ ἐπὶ τοῖς εἴκοσιν.

99 Βασίλειος ὁ Μακεδών. Ὁ ἐκ Μακεδονίας Βασίλειος ἔτυχε μὲν καὶ αὐτὸς μαντείας τινὸς ἔτι ἰδιώτης ὤν, ὡς ἐπιβήσεται τῆς βασιλείου ἀρχῆς. Οὐ μὴν ἀνέμεινε τὸν καιρὸν τῆς ἐννόμου πρὸς τὸ κράτος ἀναβάσεως, ἀλλὰ τὸν τοῦ Θεοφίλου υἱὸν Μιχαὴλ ἀνελὼν οὕτω παρανόμως ἔτυχε

---

41 τὸ οὖρον : glossema esse mihi videtur, sed fortasse est legendum τῶν οὔρων compar. Zon. III 352, 3–5 (*vide comm.*) **48** τὴν^2 : τὸν **49** καὶ inserui compar. Aristot. *Eth. Nicom.* 1106 b **52** τὴν : τῶν **59** τοὺς : τὸν **66** αὐτοκρατόρου

40–42 cf. Zon. III 352,3–5 Ὁ βασιλεὺς δὲ Μιχαὴλ ἐπὶ ἔτη ὀκτὼ καὶ μῆνας ἐννέα ἀπολαύσας

to his father's throne assailed the orthodox with all sorts of evil. Thus, his father served his example for the heresy by whipping up wave on wave against our holy faith. He fell ill of nephritis which blocked the natural secretion [of urine] and caused his death after a reign of eight years and nine months.

97 Theophilos the son of Michael the Amorian. After his accession to the throne the emperor Theophilos married Theodora from Paphlagonia, having rejected the granddaughter of the righteous Philaretos, the admirable Kasia, because she had said "the better things arose from the female" on his previous remark "the female caused the inferior". The sinner was, of course, struck in his soul by the immaculate Virgin and Mother of God.
Without the notion that justice preserves the happy medium between exaggeration and deficiency — indeed, the same holds true for every ethical virtue —, he excessively pursued what should be just. Hence he gave the impression of trying to be honest, but in so stupid a way that he became no better than the melancholics; for neither did he oppose evil nor gently turn unfairness into fairness, but with fire and sword and foolish cruelty. Thus his rule was a blockhead's rule. He died after an emperor's life of twelve years.

98 Michael the son of Theophilos and Theodora his orthodox mother.
The empress Theodora was very religious and very sensible as well; her son Michael also supported the orthodox faith, but he was the most foolish of all men. That is why he did not observe quite canonically the doctrines of orthodoxy, but his interest in horse-racing was so great that he himself drove a chariot and exhorted many high officials to do the same. His greatest favourite was the Macedonian Basilius, because of his bravery; but eager as he was to make him emperor he was even more eager to get rid of him. He developed a great suspicion against him and ordered his death; the other, however, foresaw this threat, formed a conspiracy and was prepared to kill him by any means. He suddenly attacked and killed him, having, to be sure, every rational reason available for murdering the emperor, but carrying out, nevertheless, an unjust deed.
Michael was killed after ruling twenty-six years.

99 Basilius the Macedonian. Basilius from Macedonia had received personally an oracle, when he was still a private citizen, that he once would possess the imperial power. Indeed, he waited not for the moment of his regular rise to power, but he obtained the empire in an irregular way by killing Theophilos'

τῆς βασιλείας νεφρίτιδι νόσῳ καὶ ἐπισχέσει τῶν οὔρων ἢ δυσεντερίᾳ (λέγεται γὰρ καὶ ἄμφω) κατέστρεψε τὴν ζωήν, ... *Vide* et *comm.* **49** cf. Aristot. *E. N.* 1106 b. **51** δικαιοπραγεῖν: cf. Zon. III 357,6 δικαιοπραγίας **60** ἵππων δὲ ἁμίλλαις –**62** ἀναπείθειν: cf. Zon. III 397,16–398,7. Vide et C. Th. 172,9 sqq., Scyl. cap. 10 (96,30 sqq.), Man. 5065. **62** ὑπερηγάπα: cf. Anon. Sath. 141,12 ἠγάπα τε τὸν Βασίλειον ὑπὲρ ἅπαντας. De re vide et Zon. III 412,8 sqq.

τῆς ἀρχῆς. Οἱ δὲ τοῦ πονηροῦ τούτου σκέμματος τῷ Βασιλείῳ συλλήπτορες πολλοῖς ἐμπαρέντες καὶ δυστήνοις κακοῖς οὕτω τὸν βίον τετελευτήκασι, καὶ αὐτὸς δὲ ὁ Βασίλειος πόλεμον συνάψας Σαρακηνοῖς καὶ ἡττηθεὶς μικροῦ δεῖν ἑαλώκει, εἰ μὴ ὁ τοῦ βασιλεύσαντος ὕστερον Ῥωμανοῦ τοῦ Ἀβαστάκτου πατὴρ τῆς ἁλώσεως ἠλευθέρωσεν. Ἦν δὲ ὁ ἀνὴρ οὗτος τὴν μὲν ἰσχὺν κραταιός, συγκεχυμένος δὲ τὴν διάνοιαν καὶ σφοδρὸς τὴν ὀργήν· ἀμέλει τοι Φώτιον μὲν τηνικαῦτα τὸν πατριάρχην ἐν τῷ μέλλειν αὐτὸν ἀναδεῖσθαι τὸν τοῦ βασιλέως αὐτῷ φόνον προσονειδίσαντα, ὑπερόριον αὐτίκα ποιεῖται· καὶ τὸν παῖδα Λέοντα τὸν Φιλόσοφον σὺν αὐτῷ βασιλεύοντα συκοφαντηθέντα καθείργνυσι δέον τὴν αἰτίαν ἐξακριβώσασθαι. Ὑπὲρ δὲ τῆς τοῦ βασιλέως ἀναιρέσεως ὥσπερ ἀπολογούμενος τῷ θεῷ, διότι Μιχαὴλ ἀνῃρήκει, ναοὺς τῷ ἀρχιστρατήγῳ Μιχαὴλ ἐκ βάθρων ἐδείματο, τὸν δὲ Θεσβίτην Ἠλίαν ἐξόχως τιμῶν ᾤετο συμπετασθήσεσθαι τούτῳ ποτὲ καὶ ἐντεῦθεν συναχθήσεσθαι. Ἐπὶ τούτου οὖν τοῦ αὐτοκράτορος σεισμοὶ κατὰ πόλεις γεγόνασι καὶ ἡ Κωνσταντίνου ἐφ' ἡμέραις κεκίνητο μ΄. Ἔσχε δὲ καὶ δύο παῖδας ἑτέρους, τὸν Ἀλέξανδρον καὶ τὸν Κωνσταντῖνον, περὶ οὗ ἄτοπός τις λόγος περιθρυλεῖται, ὡς τεθνηκότα ἐβούλετο ὁ πατὴρ ζῶντα αὖθις ἰδεῖν καί τινες τῶν γοήτων ἐμψυχωμένον αὐτῷ τοῦτον ἐφάντασαν. Ἐπιβουλὰς πολλὰς καὶ πολλάκις φωράσας τοὺς ἐπιβουλεύοντας αὐτῷ παντοδαπαῖς τιμωρίαις ὑπέβαλε. Κυνηγοῦντα δὲ ἔλαφός τις τῇ ζώνῃ τοῦτον ἐξάρας τῷ κέρατι μικροῦ δεῖν ἀνηλώκει, εἰ μή τις τῶν δορυφόρων γυμνώσας τὸ ξίφος καὶ τὴν ζώνην τεμὼν ἐξεῖλε τοῦ κινδύνου τὸν αὐτοκράτορα, ὃν τῆς κεφαλῆς αὐτίκα ἀφείλετο, ὅτι ξίφος ἐπὶ βασιλέα γυμνώσειε· ταύτην γὰρ αὐτῷ αἰτίαν τοῦ θανάτου πεποίηται. Πληγεὶς δὲ τὸ σῶμα τῷ κέρατι καὶ τὰ σπλάγχνα διαταραχθεὶς βραχὺν ἐπιβιώσας χρόνον μεταλλάττει τὸ ζῆν, ἐννέα ἐπὶ τοῖς δέκα ἔτη τὴν ἀρχὴν κατασχών.

100 Λέων ὁ υἱὸς Βασιλείου ὁ σοφὸς τὰ πολλά. Λέων ὁ βασιλεὺς σοφίας ἐκτόπως γέγον⟨εν⟩ ἐραστής, οὐ μόνον τῆς κοινῆς ταύτης καὶ νενομισμένης, ἣν Πλάτων ἐξῆρε καὶ Ἀριστοτέλης ⟨ἐξήνεγκεν⟩ ἐν πολλοῖς γε βιβλίοις ὕστερον ἀκριβώσας, ἀλλὰ καὶ τῆς ἀπορρητοτέρας, ἧς Πυθαγόρας ἦρξε καὶ Ἀρχύτας ἐζήλωσε διὰ κρυφίων τινῶν δυνάμεων καὶ ἐπῳδῶν ἐπιρρήτων κινοῦντες, ὅ φασι, τὰ ἀκίνητα καὶ τὰ μέλλοντα καταμαντευόμενοι. Ἐξηγητὴς δὲ αὐτῷ καὶ διδάσκαλος τούτων ἐγεγόνει ἕτερός τις

---

87 καταπόλεις **91** ἐμψυχωμένων **6** γέγον ἐραστής **7** ἐξῆρε : fortasse legendum ἐξηῦρε , *vide comm.* ἐξήνεγκεν addidi, *vide comm.* γε : δὲ ; possis δὴ **8** ἀκριβώσαντες *vide comm.* **10** ἐπιρρήτων : sic ms. Fortasse legendum ἀπορρήτων

75—77 cf. Zon. III 419,10—14 Κατὰ δὲ τῶν ἐν τῇ Κρήτῃ Ἀγαρηνῶν ἐκστρατεύσας ἡττήθη, ... καὶ ἑάλω δ' ἂν καὶ αὐτός, εἰ μὴ ὁ Ἀβάστακτος Θεοφύλακτος ὁ πατὴρ τοῦ μετὰ ταῦτα βασιλεύσαντος, τοῦ Ῥωμανοῦ τοῦ Λακαπηνοῦ, αὐτὸν διεσώσατο. **85—86** cf. Zon. III 432,13—15 ... τῷ προφήτῃ Ἠλιοὺ τῷ Θεσβίτῃ ναὸν ἀνεγείρας· ἐτίμα γὰρ τοῦτον διαφερόντως καὶ ᾤετο προσληφθήσεσθαί ποτε παρ' αὐτοῦ καὶ τῷ πυρίνῳ συνεπαρθήσεσθαι ἅρματι. **86—88** *vide comm.* **93—4** cf. Zon. III 439,11—440,9 ... (17) καὶ τάχα ἂν

son Michael. Those, however, who had been Basilius' accomplices in this dirty plot got stuck in many disastrous troubles and ended thus their lives; and Basilius himself, having started war against the Saracens, was defeated and would have been captured, had not the father of the later emperor Romanos Abastaktos rescued him. The man was, unquestionably, very strong of body, but disturbed of mind and dangerous when angry. At any rate, when Photios, then patriarch, shortly before his coronation critisized him because of the murder of the emperor, he had him banished immediately; his son and co-emperor, Leo the philosopher, he threw into prison on trumped-up charges whereas he should first have investigated the matter thoroughly. But as if he wanted to excuse himself before God for having murdered the emperor, he had brand-new churches built in honour of the archangel Michael, because he had killed a Michael, and he cherished a special devotion to Elia the Thesbite and he believed he would once fly away together with him and be taken away with him from here. Now, under this emperor's rule there were earthquakes in several towns, and the city of Constantine moved for forty days.
He still begot two other sons, Alexander and Constantine. About the latter circulates an odd story, namely that his father after his death wished to see him alive again, and that some of the wizards made him appear as with the breath of life in his father's presence. He detected numerous conspiracies and often subjected the conspirators to all sorts of punishments.
Once when hunting he was lifted up and nearly killed by a stag which had put its antlers under his belt, but one of the guardsmen drew his sword, cut the belt and rescued the emperor from danger: the man was beheaded on the spot, because he had bared his sword against the emperor, at least that argument was given for his death. But he turned out to be seriously hit by the antlers and deeply wounded internally: he lost his life shortly after, having reigned nineteen years.

100 Leo the son of Basilius, the wise in most respects. The emperor Leo was a special lover of philosophy, not only philosophy in the normal and accepted sense, such as was elevated to a scientific level by Plato and later further specified by Aristotle in many books, but also the more esoteric philosophy, the inventor of which was Pythagoras in competition with Archytas; these two, by some occult forces and foul enchantments, made move the immovable, as they say, and foretold the future. His interpreter and

---

ἠνάλωτο, εἰ μή τις φθάσας καὶ ξίφει τεμὼν τὴν ζώνην αὐτὸν διεσώσατο. ᾧ καὶ σῶστρα καλὰ δέδωκεν ὁ ὑπ' ἐκείνου σωθεὶς τὴν τῆς κεφαλῆς ἐκτομήν, καὶ ἡ σκῆψις ὡς εὐπρεπής· „ὅτι ξίφος" ἔφη „ἐπὶ βασιλέα γυμνώσειε" ... (5) ὁ δὲ πληγεὶς καὶ τὸ σῶμα τῷ κέρατι καὶ περιδινηθεὶς τὰ σπλάγχνα ἐπεβίω μέν, ἀλλ' οὐκ εἰς μακρόν· ... Vide et Ps. Sym. 699,16–22.
5 cf. Zon. III 445,14 ... (ἦν γὰρ ἐραστὴς σοφίας παντοδαπῆς καὶ αὐτῆς δῆτα τῆς ἀπορρήτου, ᾗ δι' ἐπῳδῶν μαντεύεται τὰ ἐσόμενα, καὶ περὶ τὰς τῶν ἀστέρων δ' ἐσχολάκει κινήσεις καὶ τὴν ἐκ τούτων ἀποτελεσματικὴν ἐπιστήμην μετήρχετο, καὶ εὕρισκεν ὡς ἕξει παῖδα τῆς βασιλείας διάδοχον) ...

Λέων φιλόσοφος καὶ αὐτὸς πάσας μαντείας καὶ γοητείας ἀρρήτῳ δυνάμει
274v ἐπιστάμενος. Οὐ ταύτης δὲ μόνον τῆς σοφίας ἔρωτα | εἶχεν ὁ βασιλεύς, ἀλλὰ καὶ περὶ τὴν ῥητορικὴν τέχνην ἐσπούδαζε καὶ λόγους ἐξενηνόχει, εἰς μὲν τὸν ἀρχαῖον τύπον βιαζομένους, οὐ μέντοιγε κάλλη ἀφιέντας, οὐδὲ χάριτας ἔχοντας, οὐδὲ μετακεχειρισμένους σοφιστικῶς, οὐδὲ λαμπρῶς ἀπηγγελμένους καὶ δεξιῶς. Διεσπουδάκει δὲ καὶ περὶ ἐπιστολὰς εὐπαιδευσίας μὲν ἐχούσας ἐπίδειξιν, οὐ μὴν ἱλαρὰς οὐδὲ διατιθείσας εὖ τοὺς ἀναγινώσκοντας. Ἐβούλετο μὲν οὐ τοὺς λόγους μόνον, ἀλλὰ ⟨καὶ⟩ τὰ πολέμια δεινὸς εἶναι, ἀλλ᾽ ἐβιάζετο μὲν τὴν φύσιν, ἡ δὲ οὐχ ὑπήκουσεν. Ὅθεν ὁσάκις πόλεμον βαρβάροις συνῆψε, διέφθειρε τὰ στρατόπεδα. Φώτιον δὲ τὸν πατριάρχην ὑπὸ τοῦ πατρὸς εἰς τὸν πατριαρχικὸν αὖθις ἀποκαταστάντα θρόνον τῆς ἐκκλησίας πάλιν ἐξήλασε καὶ ἐξελάσας συκοφαντούμενον εἰς κρίσιν ἐξέδοτο, καὶ λαμπρῶς τὴν νίκην νικήσαντα αὖθις ἀπήλασε. Λέγεται δὲ μὴ παῖδα τοῦ Βασιλείου τοῦτον γεγενῆσθαι, ἀλλὰ τοῦ Μιχαήλ, † ὅτε πρὸς τὴν τούτου γαμετὴν ἠγάγετο ὁ Βασίλειος ἔγκυον ἐκ τοῦ Μιχαὴλ εἶχε τὸν Λέοντα †. Ἔνθεν τοι καὶ ὁ Λέων τὴν τοιαύτην ὑποπτεύων γονὴν θαυμασίως τεθνηκότα τὸν βασιλέα τετίμηκε Μιχαὴλ τοῦ τάφου μὲν ὑπεξαγαγὼν οὗ ἐτέθη, ἐπὶ βασιλείου δὲ κλίνης αὐτὸν θέμενος καὶ πομπὴν τὴν ἐκφορὰν ποιησάμενος καὶ ἐν τῷ τῶν Ἀποστόλων ναῷ λαμπρῶς καταθέμενος. Ἐπεὶ δὲ οὐκ εἶχε διάδοχον τῆς ἀρχῆς (ἐβούλετο δὲ ἐξ ἐννόμου γάμου τοῦτον ποιήσασθαι), τρεῖς δὲ γυναῖκας ἀμείψας οὐκ ἔτεκε, καὶ τετάρτην ἐννόμως εἰσοικίσασθαι ἔσπευδε. Τῶν δὲ ἱερῶν τοῦτο ἀπαγορευόντων κανόνων αὐτὸς ἐβιάζετο· ὅθεν τέταρτον γάμον καινοτομεῖ καὶ παῖδα ἐκεῖθεν τὸν Κωνσταντῖνον ποιεῖται. Καὶ ὅσοι μὲν τῶν τῆς ἱερᾶς συνόδου τὸν γάμον τοῦτον συντετολμήκασι φίλους καὶ προσηγόρους ἐνόμιζεν, ὅσοι δὲ ἀντειρήκασι τὸ μὲν θεῖον ἐσχήκασιν εὐμενές, τὴν δὲ τοῦ βασιλέως δυσμένειαν οὐ πεφεύγασιν. Οὗτος μέντοιγε ὁ βασιλεὺς καὶ τὸν ἀδελφὸν Στέφανον ἐς τὸν τῆς πατριαρχίας θρόνον ἀναβιβάζει καὶ πλεῖστα ἕτερα τὰ μὲν κάλλιστα, τὰ δὲ χείριστα διαπεπραγμένος τελευτᾷ τὴν ζωήν, βασιλεύσας ἔτη πέντε ἐπὶ τοῖς εἴκοσι, τὸν ἀδελφὸν Ἀλέξανδρον μετὰ τοῦ παιδὸς Κωνσταντίνου βασιλέα προχειρισάμενος, ἐπὶ μὲν τῷ ἀδελφῷ τὴν ἐξουσίαν τῆς ἡγεμονίας θέμενος, τὸν δὲ παῖδα ἐπ᾽ ἐκείνῳ παιδαγωγεῖσθαι καὶ βασιλικῶς ἀνάγεσθαι ἐντειλάμενος.

101 Ἀλέξανδρος ὁ ἀδελφὸς Λέοντος. Ὁ βασιλεὺς οὗτος Ἀλέξανδρος οὐδὲν τῷ πατρὶ ἐοικὼς Βασιλείῳ οὔτε τὸ ἦθος οὔτε τὸν λόγον, κοττάβοις ἑαυτὸν ἐκδεδώκει καὶ κύβοις. Γαστρί τε κοίλῃ ἐχρήσατο καὶ αὐλητρίδας

---

15 κάλλη : κάλλει **19** ⟨καὶ⟩ addidi **24** νικήσας *vide comm.* **26** Sententiam corruptione affectam esse perclarum est. *Vide comm.* **27** ἔγγυον **38** δυσμένειαν : εὐμένειαν **47** οὐδὲν : οὐδὲν οὔτε

25–27 *vide comm.* **44–45** cf. Scyl. 192,35–37 ... καὶ πολλὰ παρακαλέσας τὸν αὐτοῦ υἱὸν Κωνσταντῖνον παιδοτροφῆσαι καὶ ἐπιμελείας ἀξιοῦν προσηκούσης, ..., Zon. III 455,8–10 ... τὴν αὐταρχίαν τῷ ἀδελφῷ κατέλιπεν Ἀλεξάνδρῳ καὶ τὸν υἱὸν αὐτῷ παρα-

teacher in these matters was another Leo, a philosopher, who also understood all sorts of oracles, and witchcraft by secret force. But not only in this form of wisdom did the emperor show his interest, he occupied himself with rhetoric art as well, producing literary works, forced, indeed, into the classical type, but lacking beauty. They missed, moreover, charms, elaborate composition and colourful or adequate diction. He specialized also in the art of letter-writing. His letters showed, therefore, considerable skill, but were lacking in cheerfulness and missing the ability to grip their readers.
Not only in literature, also in war-fare did he want to be great, but that did violence to his nature, which refused to obey. Therefore, every time he started hostilities against the barbarians, he ruined his armies.
The patriarch Photius had been restored by his father to the patriarchal see. Now he was again chased away from the church and after his dismissal brought into court on false charges; he triumphantly refuted every charge but nevertheless was banished.
The story goes that Leo was not the son of Basilius, but of Michael. For at the moment that Basilius married Michael's wife, it is said that she was with child of Michael, and thus he had Leo for a son. It was also for that reason that Leo, presuming such descent, had honoured the dead emperor Michael by exhuming him from the grave where he had been buried. He had his corpse laid on the imperial bier, his funeral officially escorted and his body magnificently interred in the Church of the Apostles. Because he could not get a successor to the throne (and he wanted one only through a legal marriage) and he had not succeeded in begetting a son with three wives, he tried to make a fourth one his legal wife. Though forbidden by the holy canonic rules, he broke the law: so he managed to push his fourth marriage through and begot by it a son, Constantine. Those members of the holy synod who had dared to accept this marriage he considered friends and supporters; those, however, who had declared themselves against it kept God's grace well-disposed, indeed, but lost the emperor's goodwill.
This emperor enthroned also his brother Stephanos on the patriarchal see and he brought about many other things, both good and bad, and he died after a reign of twenty-five years. Before he died he appointed his brother Alexander together with his son Constantine emperors, laying the leading power in the hands of his brother and giving instruction that his son should be educated by his uncle and prepared for the emperorship.

101 Alexander, Leo's brother. This emperor Alexander resembled his father Basilius neither in character nor in words and indulged in playing cottabos and gambling. His appetite was insatiable, female flautists were his regular

---

δέδωκεν, ἀξιώσας ἐπιμελεῖσθαι αὐτοῦ καὶ ἀνάγειν βασιλικῶς καὶ αὐτοκράτορα καταλιπεῖν· ... *Vide* et *comm.* 42–45. **47–48** cf. Zon. III 456,4–5 ... ὁ βασιλεὺς οὑτοσὶ οὐδὲν ἐοικὸς εἰργάσατο βασιλεῖ, ἀλλὰ τρυφαῖς καὶ θήραις καὶ ἀσελγείαις ἐξέδωκεν ἑαυτόν, ... *Vide* et *comm.* **48** γαστρί τε κοίλῃ ἐχρήσατο: cf. Zon. III 457,13 κοίλῃ χρησάμενος τῇ γαστρί.

ἐνόμιζε καὶ μίξεσι παρανόμοις ἠγάλλετο καὶ ἐπήγγελλεν ἐπὶ τούτοις υ′ σιτία. Χρυσῷ δὲ ἐποικίλλετο καὶ περὶ τὰς ἐφεστρίδων διεσπουδάκει βαφάς. Βασίλειον δὲ ἔργον αὐτῷ οὐδ᾽ ὁτιοῦν οὐδὲ μέχρις ὀνείρατος, παρέτεινε δὲ καὶ ἐς μέσας νύκτας συμποσιάζων. Ἅπαξ οὖν μέθῃ πολλῇ κατάσχετος γεγονώς, εἶτα σφαιρίσαι προθέμενος καὶ κατατείνας ἑαυτὸν διαρρήγνυται, ἔτος ἓν ἐφ᾽ ἑνὶ μηνὶ διαπαίξας τὴν βασιλείαν.

102 Κωνσταντῖνος ὁ υἱὸς Λέοντος. Παιδίον ἔτι ὢν ὁ βασιλεὺς Κωνσταντῖνος τὴν βασιλείαν ἐκδέχεται, ὅθεν ὑπὸ ἐπιτρόποις ἐτέλει. Καὶ παρὰ τῶν τότε δυναστῶν καὶ λογίων καὶ αὐτοῦ δὲ τοῦ πατριάρχου καὶ τῆς μητρὸς τὴν ἀρχικὴν ἐπιστήμην ἐξεπαιδεύετο. Διὸ πολλὰ μὲν τῶν ἀτόπων ἐπράττετο, οὐκ ὀλίγα δὲ ἐκαινοτομεῖτο, τῶν παιδαγωγούντων τὸν αὐτοκράτορα τῶν μὲν τάδε προαιρουμένων, τῶν δὲ τὰ ἀντίθετα. Πολυαρχία γάρ, οὐ μοναρχία ἦν τὸ γινόμενον καὶ οὐδὲ ἀριστοκρατία, ἀλλ᾽ ἀρχή τις συγκεχυμένη καὶ ἄτακτος. Τὸ γὰρ ἀριστοκρατεῖν, εἰ πρὸς ὁμόνοιάν τις ἀγάγοι, ἔννομόν ἐστιν ἄντικρυς καὶ ἐπιστασία βασιλική. Πολλοὶ μὲν οὖν κατ᾽ ἐκεῖνο καιροῦ ὅσοι τὰ κοινὰ διεχείριζον κἀν τοῖς ἀρχείοις διέπρεπον, ἐπρώτευε δὲ ἐπὶ πᾶσι τὴν σύνεσιν Ῥωμανὸς ὁ Ἀβάστακτος, ὃν χωρίον μὲν ἡ Λάκαπα ἤνεγκεν, ἡ δὲ βασιλεία ὕστερον ἄγαν ἐκήρυξεν. Οὗτος γοῦν ὁ Ῥωμανὸς τὴν τῆς θαλάσσης τότε ἔχων ἀρχὴν καὶ περὶ τοὺς ἄλλους ἰσχύων τὸν βασιλέα Κωνσταντῖνον ἐπαιδαγώγει καὶ διερρύθμιζε. Πείθει γοῦν αὐτὸν καὶ τὴν θυγατέρα Ἑλένην γυναῖκα λαβεῖν ὀμόσας καθ᾽ ἱερῶν μήτε τῆς ἀρχῆς ἐπιβῆναι μήτε ἄλλο τι βουλεύσασθαι ἐναντίον αὐτῷ. Ἀλλ᾽ ἐπελέληστο πάντων καὶ πρόφασιν λαμπρὰν ἀπὸ τοῦ κήδους λαβὼν περιτίθεται τὸ διάδημα. Καὶ οὐ τοῦτο μόνον δεινόν, ἀλλὰ καὶ τὸν παῖδα Χριστοφόρον κοινωνὸν ποιεῖται τῆς βασιλείας. Εἶτα τὸν ἕτερον υἱὸν Κωνσταντῖνον καὶ αὖθις τὸν τελευταῖον Στέφανον, καὶ οὐδὲ ταῦτα τούτῳ ἐπήρκεσεν, ἀλλὰ καὶ παιδίον ἐκ τοῦ υἱοῦ Χριστοφόρου γεγενημένον Ῥωμανόν τε ὠνόμασε καὶ τῆς βασιλείας ἠξίωσε. Καὶ εἰς παρανομωτάτην πολυαρχίαν τὴν ἔννομον βασιλείαν μεθίστησι. Τὰ μὲν οὖν πρῶτα τῆς βασιλείας τιμῆς εἶχεν ὁ Κωνσταντῖνος ὁ ἔννομος βασιλεύς, καὶ τὰ δευτερεῖα ὁ πενθερὸς Ῥωμανός, εἶθ᾽ ἑξῆς οἱ παῖδες κατὰ τὴν ἡλικίαν ἕκαστος. Οὕτως ἐν βήμασιν, οὕτως ἐν συνεδρίοις, οὕτως ἐν συμποσίοις, οὕτως ἐν πανηγύρεσιν, οὕτως ἐν βασιλείοις πομπαῖς. Εἶτά τι τῶν δευτερείων ὁ Ῥωμανὸς μεθεκτὸς ἐπιλαμβάνεται τῶν πρωτείων ἐν πᾶσι τοῖς εἰρημένοις καὶ οὐδὲ τοῦτο αὐτῷ ἀπέχρησεν, ἀλλὰ καὶ τὸν Χριστοφόρον τοῦ Κωνσταντίνου προτίθησι καὶ τέλος τοὺς ἑτέρους δύο υἱούς. Καὶ

49 υ′ : υ sine signo **50** σιτία: σίτια . Legendum ἐπὶ τούτοις συσσίτια? **53** σφηρίσαι **62** τὸ : τῶ

53 σφαιρίσαι προθέμενος ... διαρρήγνυται: cf. Zon. III 457,14—15 ... σφαιρίσαι προέθετο· καὶ κατατείνας τὸ σῶμα ... ῥῆξιν ὑπέστη, ... **54** *vide comm.* **71—77** cf. Zon. III 472,8—14: Ὁ βασιλεὺς δὲ Ῥωμανὸς ἀπληστευσάμεμος ἐπὶ τῇ τῆς βασιλείας ἀρχῇ καὶ ὥσπερ ἐπιλελησμένος τῶν ὅρκων, οὓς ὠμωμόκει καθ᾽ ἱερῶν, καὶ μὴ ἀρκούμενος ὅτι ἑαυτὸν καὶ τὸν

company, he gloried in irregular forms of sex. Four hundred portions of food were often ordered for these parties. He loved to adorn himself with various golden ornaments and paid special attention to the dyes of his mantles. He accomplished not a single imperial deed, not even in his dream, continuing his drinking-bouts until dead of night. Once fully drunk he proposed to play polo, strained himself and died of a stroke, having played his emperor-game during one year and one month.

102 Constantine, the son of Leo. While still a child Constantine succeeded to the empire. Hence he exercised power through tutors. His instruction in the art of how to rule an empire was in the hands of the current leaders, scholars, the patriarch himself and his mother, with the effect that many foolish measures were taken and not a few novelties were introduced, because some of the imperial pedagogues preferred this, some of them the reverse. What resulted was a polyarchy, not a monarchy, not even an aristocracy, only a confused and disorderly government. Indeed, an aristocratic form of ruling, if led towards unanimity by someone, is absolutely legal and has imperial authority. As has been said, there were many persons at that time who occupied themselves with public affairs and distinguished themselves in their offices, but the most clever among them was Romanos Abastaktos, born in a village named Lakapa, only too well reputed later by his emperorship. This Romanos was at that moment commander of the fleet and surpassed the others, thanks to his strong personality, in contributing to Constantine's education and training. At any rate he persuaded him to marry his daughter Helena, albeit after swearing an oath on the Holy Mystery that he would not take over the government nor undertake anything else against him. He forgot everything, however, and put on the diadem, finding a brilliant argument in his being related to the emperor. This was not the only bad thing, but he also made his son Christophoros partner of the empire. And next also his second son Constantine and again the youngest, Stephanos, and even that did not suffice for him, for he had the child of his son Christophoros named Romanos and regarded worthy of the empire. Thus he transformed legal emperorship into a highly illegal polyarchy. The highest imperial position was held, indeed, by the proper emperor Constantine, the second place by his father-in-law Romanos, and so forth by each of the sons according to their age. This order was observed at the theatre, at conferences, at banquets, at festivals and at imperial processions. Then, holding the second position, Romanos also took over the first position at all the occasions mentioned and was not satisfied even by that, for he placed Christophoros above Constantine, and finally also his two other sons. Thus became the first the fifth, and the natural inheritor

---

τῶν υἱέων πρεσβύτερον ἠξίωσε διαδήματος, καὶ τοὺς λοιποὺς δύο τῶν παίδων αὐτοῦ βασιλικῶς τεταινίωκεν, εἶτα καὶ τὸν ἐκ τοῦ Χριστοφόρου γενόμενον αὐτῷ υἱωνόν, καὶ τὴν Ῥωμαίων ἀρχὴν ἀντὶ βασιλείας εἰς πολυαρχίαν μετήνεγκε. *Vide* et *comm.* **81–84** cf. Zon. III 474,8–17. *Vide comm.*

γίνεται πέμπτος ὁ πρῶτος καὶ ὁ ἔμφυτος τῆς ἀρχῆς κληρονόμος οἷον παρήορος. Ὁ γὰρ μικρὸς Ῥωμανὸς ὁ τοῦ Χριστοφόρου υἱὸς ἐτεθνήκει. Εἶτα τί γίνεται; Οἱ παρ' ἀξίαν τυχόντες τοῦ κράτους παῖδες τοῦ Ῥωμανοῦ ἐπιβουλεύουσι τῷ εὐεργετηκότι πατρὶ καὶ πονηρὸν σκέμμα συνθέμενοι 275r τῶν | βασιλείων τοῦτον κατάγουσι καὶ εἰς νῆσον περιορίζουσιν. Ὡς δὲ τοῦ σκοποῦ τετυχήκασι, δευτέραν βουλὴν ἐπὶ τὸν Κωνσταντῖνον ἀρτύουσι. Ἀλλ' οὐκ ἀνεξικακεῖ μέχρι παντὸς ὁ θεός, ἀλλὰ βέλη ἐπὶ τοὺς πονηροὺς πυρφόρα ἀφίησι. Προγινώσκει γὰρ ὁ Κωνσταντῖνος τὰ πονηρὰ τούτων διανοήματα καὶ προλαμβάνει τὴν ἔφοδον τούτων, οὕτως εἰπεῖν, καὶ συμβούλοις εὔνοις πρὸς τοῦτο χρησάμενος κατάγει τούτους τῶν βασιλείων καὶ περιορίζει μακράν. Εἶτα καὶ τῷ πατρὶ αἰτησαμένῳ ἀντιπροσώπους ἱστᾷ καὶ δρᾶμα ὅλον ἐπὶ τούτοις συνίσταται. Ἤδη δὲ καὶ ὁ Κωνσταντῖνος ἐφ' ἡλικίας γενόμενος τῶν ὅλων ἀντιλαμβάνεται καὶ συμβασιλεύει τῇ γεννησαμένῃ καὶ τοὺς ἐπιτρόπους ἀποσκευάζεται, τίκτει δὲ παῖδα τὸν νεώτερον Ῥωμανὸν καὶ γυναῖκα τούτῳ εἰσοικίζεται τὴν Θεοφανώ, τῶν ἀγενῶν μέν, ἄγαλμα δὲ κάλλους ἄντικρυς καὶ θελκτηρίους χάριτας ἀφιεῖσαν τῆς ὄψεως. Προσέκειτο δὲ καὶ λόγοις ὁ βασιλεὺς οὗτος. Ἐπιστολαὶ γοῦν αὐτῷ εὕρηνται παιδείαν ἐμφαίνουσαι καὶ δημηγορίαι λογικὴν ἕξιν ἐπιδεικνύμεναι, καὶ συγγράμματά τινα εἰς μὲν τέχνην οὐκ ἀπεικονισμένα, οὐδὲν δὲ ὅμως σχῆμα ὀκνήσαντα. Καὶ περὶ ῥυθμοὺς δὲ ἐσπούδαζε καὶ μέτρα παντοδαπά. Ἀμέλει τοι καὶ θανοῦσαν αὐτοῦ τὴν γυναῖκα ἰαμβείοις ἐκόσμησεν καὶ ἄλλα τοιαῦτα ἐξενηνόχει κομμωτικά. Καὶ χαύνοις διαρρέοντα ἤθεσι καὶ διατιθέντα ἐν ἡδονῇ τὰ μειράκια ἀκούω τὸν ἄνδρα καὶ τῶν λόγων ἀντιποιούμενον καὶ κοινωνοὺς περὶ τὴν τράπεζαν ἔχοντα, ὁποίους καὶ Διονύσιος ὁ τυραννήσας ἐν Σικελίᾳ περὶ αὐτὸν ἐπεποίητο. Χολῆς μὲν οὖν οὐκ ἐκράτει, ἀλλ' ἐθυμοῦτο αὐτίκα, αὖθις δὲ κατεῖχεν ἑαυτὸν καὶ ἐπανελάμβανε καὶ τὸ ἦθος ἐρρύθμιζεν. Ὅλην δὲ τὴν ζωὴν βασιλεύσας πέντε ἐπὶ τοῖς πεντήκοντα ἔτεσι βιοὺς τελευτᾷ, τῷ παιδὶ Ῥωμανῷ τὴν βασιλείαν καταλιπών.

103 Ῥωμανὸς ὁ τοῦ Κωνσταντίνου παῖς. Οὐ παιδίον οὗτος ὁ Ῥωμανός, ἀλλὰ πρὸς τὸν Ἀβάστακτον Ῥωμανὸν βασιλέα παραμετρούμενος οὕτως ὠνόμασται. Τεσσαρακονταέτης γὰρ ἐτεθνήκει. Παιδαριώδης δὲ αὐτῷ ἡ ζωὴ καὶ παντάπασιν ἀγνοήσαντι οἷον τὸ τῆς βασιλείας ἀξίωμα. Κατ-

11 ἰαμβείοις : ἰαμβοῖς **16** ἐπαναλάμβανε **21** ὀνόμασται τεσσαρακοντήτης

84–86 ~ Zon. III 474,17–475,2 καὶ ὁ πρῶτος πέμπτος ἐγένετο ... ἦν οὖν ὁ αὐθιγενὴς βασιλεὺς καὶ ᾧ κατὰ κλῆρον ἡ βασιλεία διέφερεν ὥσπερ παρέγγραπτος. **86** ~ Zon. III 474,17–18 ... εἰ μὴ μικρὸς Ῥωμανὸς ὁ τοῦ Χριστοφόρου υἱὸς ἔφθη θανών, ... **4** εἰσοικίζεται κτλ.: cf. Zon. III 485,5 ... ἑτέραν ἀγαγέσθαι αὐτῷ γαμετήν, καὶ συνοικίζει αὐτῷ κόρην, τύχης μὲν χαμερποῦς ἢ καὶ χυδαίας ..., τὸ δὲ εἶδος εὐπρεστάτην, ἄντικρυς ἄγαλμα πλασθεῖσαν ... Cf. et Scyl. 240,82–86: ... οὔ τινα τῶν ἐπιφανῶν, ἀλλ' ἐκ χυδαίων ... C. Th. 458,9 habet autem ... ἐξ εὐγενῶν προγόνων κτλ. **7–12** ~ Zon. 482,17–483,5.

of the crown no more than an outrunner. By the way, the young Romanos, Christophoros' son, had died.

What happened next? The sons of Romanos, who had by chance obtained a power they did not deserve, conspired against their father and benefactor, and having organized their base plan they expelled him from the palace and banished him to an island. Having realized their aim they prepared a second plot against Constantine. God, however, does not bear evil till the bitter end, he shoots his burning arrows towards the wrong-doers. For Constantine detected their devious intentions and anticipated, so to say, their attack, chased them away from the palace with the help of loyal advisers and banished them far away. Later he confronted them with their father at his request and made a very dramatic scene of these events.

Constantine had now also become grown-up and he assumed full power. He reigned together with his mother but removed the tutors. He begot a son, Romanos the younger, whom he made marry Theophano, a girl of humble birth but a picture of absolute beauty with eyes that radiated the most tempting charms.

This emperor occupied himself also with literature. There exist letters from his hand which demonstrate his education, and logically composed speeches. There are treatises which miss the professional touch of expression but show not the slightest hesitation in applying every rhetorical figure. Rhythms and all sorts of metres had his attention. At any rate, when his wife had died, he honoured her with an iambic poem and he published other similar artful poems. I understand that the man was subject to frivolous morals and disposed of boys for pleasure, but on the other hand that he exercised a great interest in theoretical matters and also had companions at dinner in the same way as Dionysios the tyrant of Sicily had surrounded himself with men who shared his interests. Not being able to control his temper he raised Cain for nothing, but a moment later he had himself in hand again and resumed his normal bearing. Having been emperor his whole life he died at the age of fifty-five years and left the empire to his son Romanos.

103 Romanos, the child of Constantine. This Romanos was no child any more, but he was called thus to distinguish him from the emperor Romanos Abastaktos. For wasn't he forty when he died? His way of life was, however, childish and he had absolutely no conception of imperial dignity. Thus he

---

Vide et Scyl. 237,23–30, Glyk. 561,13–17. Laudationem copiosam invenies in C. Th. 445,6–452,19, sed pauca de litteris. **19–21** οὐ παιδίον κτλ.: cf. Zon. III 490,4 ... ὁ υἱὸς δὲ αὐτοῦ Ῥωμανός, ὃς καὶ παιδίον ἐλέγετο ... παιδίον δ' ἐλέγετο, οὐχ ὅτι παιδικῆς ὢν ἡλικίας τῆν βασιλείας ἐκράτησεν (ἤδη γὰρ ἀνδράσι συντέτακτο), ἀλλ' ἀντιδιαστελλόμενος πρὸς τὸν μητροπάτορα Ῥωμανόν ... **21** παιδαριώδης: cf. Zon. III 490,9–11 εἰ δέ τις εἴποι παιδίον αὐτὸν καλεῖσθαι, ὅτι καὶ παιδαριώδης ἦν αὐτῷ ἡ ζωή, καὶ τοῦτο τῷ ἐκείνου ἤθει ἁρμοδιώτατον.

ωλιγωρήκει γοῦν πάσης βασιλικῆς πράξεως καὶ μάλιστα τὰς τῶν στρατοπέδων διέλυσε φάλαγγας. Πανημερίοις δὲ μίμοις γελοίων καὶ θεάτροις ἐσχόλαζε, περί τε τὰ ἀφροδίσια ἐμεμήνει περί τε τὰ ἱππηλάσια ἐκεχήνει καὶ περὶ τὰ κυνηγέσια ἐπεφύκει. Ὡς δ' οἱ βάρβαροι πάντα ἄρδην ἀπολωλέκασι καὶ τὴν ὑπὸ Ῥωμαίοις πᾶσαν κατέδραμον καὶ μάλιστα ὁ τῆς Κρήτης καθηγεμὼν πάντα συνέχεε πράγματα, ἀπορίᾳ τε συνείχετο καὶ πρὸς τὴν μόνην καὶ τελευταίαν καταφεύγει ἐλπίδα, ⟨Νικηφόρον λέγω τὸν Φωκᾶν,⟩ ἄνδρα οἷον οὐκ ἄλλον ἡ φύσις ἐξήνεγκε καὶ κατὰ χεῖρα γενναῖον, καὶ πολὺν κατὰ σύνεσιν. Βάρδας δὲ ὁ πατὴρ αὐτοῦ τὴν ἀρχὴν τῆς ἑῴας πεπίστευτο, τοῦ υἱοῦ μὲν ἔχων τὰ δευτερεῖα, οὐ παρὰ πολὺ δὲ τοῦ γενναίου καὶ στρατηγικοῦ ἀπολελειμμένος φρονήματος. Ὡς γοῦν εἰς λόγους ἦλθε ὁ βασιλεύων τῷ Νικηφόρῳ, ἠρώτα· 'πῶς οὕτως καταπεπτώκει Ῥωμαίοις τὰ πράγματα;' Τὸν δέ φασι μηδὲν ἀποδειλιάσαντα εἰρηκέναι, ὅτι τοι 'σὺ μὲν βασιλεύεις, ὁ δὲ πατὴρ στρατηγεῖ, σὺ μὲν τῆς βασιλείας καταμελῶν, οὗτος δὲ φιλοχρηματῶν. Ἀλλ' εἴ γε βούλοιο μεταβολὴν τοῖς πράγμασιν εὕρασθαι, μὴ αὐτίκα ἔλπιζε τὴν τῶν πεπτωκότων ἀνάστασιν. Κἀγὼ γενναίας ἀφορμὰς τῶν ὕστερον στρατηγημάτων καταβαλλόμενος εἶθ' οὕτως τοῖς πρὸς τοὺς βαρβάρους πολέμοις ἐπιχειρήσω'. Ἑτοίμως δὲ τούτῳ τοῦ βασιλέως παρεσχηκότος ποιεῖν, εἴ τι καὶ βούλοιτο, εὐθὺς ὁ Φωκᾶς τῶν πραγμάτων ἐπεμελεῖτο καὶ καθιστᾷ τὰς πράξεις καὶ ἀνεπλήρου τὸ μέτρον, τὰ μὲν ἀπὸ ξενικῆς δυνάμεως, τὰ δ' αὐτὸς καθοπλίζων τοὺς ἀπὸ τῶν ἀγρῶν καὶ τοὺς βωλοκόπους μαχαιροφόρους ποιούμενος, γυμνάζων τε τὰς χεῖρας αὐτοῖς ἔς τε τοξείαν καὶ ἀκοντίων ἄφεσιν καὶ τὸ μακρὸν δόρυ διαγκαλίζεσθαι εὖ, ἀφ' ἵππων τε τοξεύειν καὶ φεύγοντας βάλλειν, καὶ τὰ μὲν πολεμεῖν, τὰ δὲ τειχομαχεῖν καὶ πολιορκεῖν. Ὡς δ' οὖν ἀρκούντως εἶχεν αὐτῷ ἡ παρασκευή, ἀντωπεῖ τοῖς βαρβάροις καὶ τὰ θρυλούμενα παρὰ πᾶσιν ποιεῖ κατορθώματα. Τῷ μέντοιγε βασιλεῖ Ῥωμανῷ δύο τίκτονται παῖδες ἐκ Θεοφανοῦς, ὅ τε γενναῖος Βασίλειος καὶ πρὸς πάντας βασιλεῖς ἀπαράμιλλος, καὶ ὁ Κωνσταντῖνος, περὶ ὧν αὐτίκα ἐροῦμεν. Ὧν ὁ μὲν Βασίλειος τὴν μὲν ἡλικίαν βραχύς, παμμεγέθης δὲ τὴν ψυχήν, ἀπολαύσεως μὲν βασιλικῆς βραχύ τι, πόνων δὲ καὶ φροντίδων πλείστων μεταλαγχάνων· ὁ δέ γε Κωνσταντῖνος ἐπιμηκέστερος μὲν τἀδελφοῦ, ἐλάττων δὲ καὶ τὴν γενναιότητα καὶ τὸ φρόνημα. Γυναῖκα δὲ γήμας τρεῖς ἐκ ταύτης θυγατέρας ποιεῖται. Αὗται δὲ παρά τινι τῶν βασιλικῶν κοιτωνίσκων ἐπαρθενεύοντο. Ὁ μέντοιγε Ῥωμανὸς ἐπὶ τοῖς δυσὶν υἱέσι καὶ βασιλεῦσι μετατίθεται τὴν ζωήν, τὴν μητέρα τούτων

22–23 κατωλιγωρήκεις οὖν **24** πανημερίοις *vide comm.* **27** Ῥωμαίους **29** Νικηφόρον λέγω τὸν Φωκᾶν supplevi. Ms. post ἐλπίδα lacunam habere clarum est. *Vide comm.* **32** πεπιστεύκει **41** παρεσχηκότως **42** καθιστᾶ ms., *vide comm.* **46** ἐφ' ἵππον *vide comm.* **56** γήμᾶ

---

34 πῶς κτλ.: cf. Zon. III 493,1 ... πῶς εἰς τὸ κατόπιν Ῥωμαίοις περιηνέχθη τὰ πράγματα. τὸν δὲ μηδὲν ὑποστειλάμενον ἐλευθέρῳ φάναι φρονήματι „διότι σὺ μὲν βασιλεύεις, ὁ δ' ἐμὸς πατὴρ στραταρχεῖ, σὺ μὲν τῆς ἀρχῆς οὐχ ὡς δέον ἐπειλημμένος, ἐκεῖνος δὲ φιλοχρηματῶν.

neglected his whole task as an emperor, and in particular brought about a dissolution of the garrisons that protect the borders. His daily pursuits consisted of amusement with comic mimes and theatre games, he was mad on sexual pleasures, infatuated with horse-racing, born for hunting-parties. When the barbarians, however, overrunning all of Roman territory freely destroyed everything and especially, when the Cretan commander had bungled the works, he did not know what to do further and resorted to his only and final hope, ⟨I mean Nikephoros Phokas⟩, a man such as nature had never before created, brave of hand, extremely clever of mind. His father Bardas had already been in charge of the eastern part, second, it is true, to his son, but not much inferior to him in bravery and strategical insight. Now, when the emperor had started his conference with Nikephoros, he asked: "how can Roman power be ruined like this?" and Nikephoros is said to have answered without any diffidence: "You are the emperor, my father is a commander and you neglect the empire, while he loves only money. But if you wish to achieve a change of affairs, do not expect an immediate improvement of the collapsed power. I am ready to create the necessary resources of virtue for later military actions and under these conditions to resume warfare against the barbarians". The emperor was only too glad to offer him the opportunity to do as he proposed, and Phokas immediately took care of the affairs, analysed the situation and restored the quota, partly from foreign forces and partly by his own activity to arm the agrarians and to transform the clodcutters into swordsmen. He trained their arms for shooting the bow, for throwing the spear and for holding the lance in tight grip, and taught them to shoot on horse-back and to hit the mark even when fleeing, and further to fight on the battle-field, to attack and defend walls, to lay siege to a city. Then, after he had sufficiently finished his preparations, he confronted the barbarians and achieved the results spoken of by everyone.

To the emperor Romanos two children were born of Theophano, the brave and, in comparison with all the emperors, unrivalled Basilius, and Constantine, about both of whom we will presently speak. Of these two Basilius was short of stature, but very great of soul. His share of the pleasures of rulership was scanty, tremendous his share of sorrows and troubles. Constantine was taller than his brother, but was his inferior in bravery and spirit. He married a woman who presented him with three daughters. These girls lived as virgins in one of the imperial apartments. As to Romanos, having his two sons as co-emperors he ended his life after he had charged their mother Theophano to

---

εἰ βούλοιο δέ, μεταβληθήσονται τοῖς Ῥωμαίοις καὶ τὰ φρονήματα καὶ τὰ πράγματα, πλὴν μὴ ἀθρόαν οἴου ἔσεσθαι τὴν μεταβολήν". **41–42** εὐθὺς ... ἐπεμελεῖτο: cf. Zon. III 493,8 καὶ ὃς αὐτίκα ἐπεμελεῖτο τοῦ ὁπλιτικοῦ, ... **43–44** καθοπλίζων ... τοὺς βωλοκόπους ...: cf. Zon. III 493,11 ... καὶ καθοπλίσας τοὺς βωλοκόπους ... **48–49** τὰ θρυλούμενα ... κατορθώματα: cf. Zon. III 493,13–14 ... σὺν ἀστοῖς τὰ θρυλλούμενα ῥᾳδίως ἔστησε τρόπαια.

Θεοφανὼ ἐπιτάξας τὴν ζωὴν αὐτοῖς διακυβερνᾶν.

104 Θεοφανὼ σὺν τοῖς παισὶ Βασιλείῳ καὶ Κωνσταντίνῳ. Οὐκ οἶδα, εἴτε ἀνδρὸς ἔρωτι καὶ ἐπιθυμίᾳ σαρκὸς πρὸς δευτέραν εὐνὴν ἡ βασιλὶς κατεληλύθει Θεοφανώ, εἴτε συνηναγκάσθη πρὸς τοῦτο, τῶν πραγμάτων συνταραχθέντων αὐτῇ. Καίτοι καὶ αὕτη δραστήριος περὶ τὰ πράγματα ἦν καὶ ὁ παῖς Βασίλειος εἰκοστοετὴς ἐγεγόνει καὶ πολλῶν ὀξύτητι διήνεγκε λογισμοῦ καὶ δεξιότητι φύσεως, ἀλλὰ δεδόσθω μὴ ἐποφθαλμίσαι ταύτην ἀνδρί, μηδὲ ἐρωτόληπτον γεγονέναι. Ἀλλ' οἱ τηνικαῦτα τὰς στρατιωτικὰς διειληφότες ἀρχάς, ὧν τὰ πρῶτα ὁ Φωκᾶς Νικηφόρος καὶ Ἰωάννης ὁ Τζιμισχής, βασιλέα γενναῖον ἐπιστῆναι τοῖς πράγμασιν ἐβου-
275v λεύοντο. Ἀκούω δέ τινος τῶν συγγραφέων | ὅτι τῷ Τζιμισχῇ παρὰ τῆς Θεοφανοῦς ἡ βασιλεία ἐπετέτραπτο. Ὁ δὲ τὸν Νικηφόρον ἀντ' αὐτοῦ δεῖν ἄρχειν παρεβιάζετο, συγγενῆ τε ὄντα καὶ διὰ πλῆθος κατορθωμάτων ἄξιον τοῦ ὀνόματος. Φασὶ δὲ καὶ ἀποκνοῦντα τοῦτον πρὸς τὴν ἀρχὴν παραβιάζεσθαι καὶ τὴν χεῖρα ἐπ' αὐτὸν ξιφήρη ἐπανατεῖναι. Ὡς δὲ ⟨οὐ⟩ κατὰ νοῦν ταῦτα ἐγεγόνει τῇ βασιλίδι, οὐκ ἦν δὲ τὴν βίαν ὑπενεγκεῖν ἢ ἀπώσασθαι, γίνεται καὶ αὐτὴ τοῦ βουλεύματος καὶ τὸν Νικηφόρον τῶν ἄλλων εἰς τὴν βασιλείαν προκρίνει. Καὶ ὃς ἄνεισι λαμπρῶς καὶ ἐπὶ λαμπραῖς ταῖς ἐλπίσιν, ὄψις ἀξιοθεατότατος, ψυχὴ γενναία, χρῆμα παντοδαπόν, πρός τε πολέμους καὶ πρὸς εἰρήνην. Οὕτως ἡ μὲν βασιλὶς τοῦ αὐταρχεῖν ἐπέπαυτο, ὁ δὲ Νικηφόρος τῶν ὅλων πραγμάτων ἀναλαμβάνεται συμβασιλευόντων αὐτῷ καὶ τῶν τοῦ Ῥωμανοῦ παίδων Βασιλείου καὶ Κωνσταντίνου.

105 Νικηφόρος Φωκᾶς ὁ νικητής. Ὑπὲρ τοῦ βασιλέως Νικηφόρου τοῦ Φωκᾶ πολλοὶ τῶν κατ' ἐκεῖνον καὶ τῶν [οὐ] μετ' οὐ πολὺ ὕστερον διεξοδικὰ συγγράμματα ἐκδεδώκασι καὶ ὁ ἀναγινώσκων ἐκεῖνα εἴσεται, ὁπόσα ὁ ἀνὴρ οὗτος ἔν τε ἰδιώτου σχήματι ἔν τε βασιλείᾳ κατώρθωκεν. Ὁ δὲ ἡμέτερος λόγος βραχέα τὰ περὶ τούτου ἐρεῖ, τὸ σύνηθες μέτρον ὥσπερ ἐν τοῖς ἄλλοις κἀν τούτῳ ποιούμενος. Οὗτος ὁ αὐτοκράτωρ ἆθλον στρατηγημάτων καὶ ἀνδραγαθημάτων πολλῶν λαμβάνει τὴν βασιλείαν. Ἤνεγκε γὰρ ὁ τότε καιρὸς τοῦτον δὴ τὸν Νικηφόρον καὶ Ἰωάννην τὸν Τζιμισχὴν εὐτυχήματα Ῥωμαίων περιφανῆ· ἀλλήλοις γὰρ ἁμιλλώμενοι καὶ παραβαλλόμενοι τὰ Ῥωμαίων ηὐξήκασι πράγματα καὶ προσέθεσαν τῇ βασιλείᾳ ἀπὸ τῆς ἑσπέρας πόλεις πολλὰς καὶ ἀπὸ τῆς ἕω. Αἵ τε γὰρ Ταρσός, πόλις ἐν Κιλικίᾳ μεγάλη καὶ πολυάνθρωπος, Ἄδανά τε καὶ Λαοδίκεια καὶ ἡ οὐρανόπολις Ἀντιόχεια τῆς τε Φοινίκης τὰ πλείω, καὶ ἡ πολυθρύλητος Δαμασκὸς τό τε Ῥάμηλε καὶ ἡ περιβόητος Τρίπολις, καὶ

62 συναναγκάσθη *vide comm.* **64** εἰκοστοετὴς ms., sed forsitan scribendum sit εἰκοσιετής/εἰκοσαετής **73** οὐ supplevi **83** οὐ[1] delevi **84** οἴσεται **86** βραχεῖα **87** ἄθλων **95** τό τε : τότε

continue piloting theirs.

104 Theophano with her sons Basilius and Constantine.
I do not know, whether the empress Theophano proceeded to a second marriage driven by love for a man and carnal desire, or forced into it as a consequence of her being confronted with a confused state of affairs. She was certainly energetic enough to handle things by herself and her son Basilius was already twenty years old and he surpassed many people by his acute intelligence and his natural manner. It should, nevertheless, be accepted that she did not have her eye on a man, nor was she possessed by love. But those who then bore military responsibility, among whom in the first place Nikephoros Phokas and Johannes Tsimiskes, were of the opinion that a strong emperor should be in charge of affairs.
I learn from one of the historians that Theophano wished to trust Tsimiskes with the empire. But he urged that Nikephoros in his place ought to be the ruler, as being a relative and for his many achievements worthy of bearing the imperial title. It is also said, however, that Nikephoros hesitated so much that he had to be forced to accept the throne by Tsimiskes, who even threatened him with his sword in his hand. True, it did not come up to the feelings of the empress, but unable as she was either to endure or to defend herself against the pressure, she too agreed to the consideration and preferred Nikephoros to the others for the emperorship.
Thus he ascended the throne with pomp and circumstance and under splendid expectations, a man very well worth seeing, a brave soul, a person of manifold competence both in wars and in peace. In this way the empress' autarchy was put to an end, and Nikephoros took over all the tasks with both children of Romanos, Basilius and Constantine, as his co-emperors.

105 Nikephoros Phokas the victorious. About the emperor Nikephoros Phokas many detailed writings have been published both by contemporaries and by authors shortly after, and whoever read them will know how many things were achieved by this man as an individual and as emperor. Our story will include only a few short remarks about him, being limited also in his case to the extent observed for the others. This emperor obtained the empire as the prize of his intelligent operations and brave deeds as a general. That epoch brought forth both this Nikephoros and Johannes Tsimiskes as fortunate and famous products of the Byzantine world. Being each other's rivals and equals they increased the Roman empire, conquering and adding many towns both in West and East to its territory. These were Tarsos, a great and crowded town in Cilicia, Adana as well as Laodicea, the celestial city Antioch and the greater part of Phoenicia, the famous Damascus, Ramle, the well-known

ὅσα τῶν ἐχθρῶν τὴν παράλιον ταύτην νέμεται οἴκησιν καὶ τῶν ἐκεῖσε πίνει πηγῶν προσθήκη τῇ βασιλείᾳ Ῥωμαίων γεγόνασιν ὑπὸ τῶν ἀνδρῶν ἐκείνων, τῆς μὲν Σαρακηνικῆς δυναστείας ἀφαιρεθέντα, πρὸς δὲ τὴν Ῥωμαϊκὴν μετενεχθέντα ἀρχήν τε καὶ ἐπικράτειαν. Ἀλλ' ὁ μὲν Τζιμισχὴς ἀναμεινάτω τὸν λόγον. Ὁ δὲ Νικηφόρος οὐκ, ἐπειδὴ τῶν ἀριστευμάτων τὸ ἆθλον εἰλήφει καὶ πρὸς τοῖς ἀριστείοις στεφάνοις καὶ τῷ βασιλείῳ κατεκοσμήθη, δεῖν ἔγνω τυχεῖν ἀναπαύλης καὶ βραχύ τι διαναπαύεσθαι, ἀλλὰ καὶ αὖθις τοῖς πολεμικοῖς πόνοις ἐνεκαρτέρει, τὰ μὲν διατατιόμενος, τὰ δὲ αὐτὸς τὰ ὅπλα ἐνδὺς καὶ μαχόμενος. Ἀθώπευτος βασιλεὺς καὶ μόνῃ τῇ ἀληθείᾳ θηρώμενος οὐκ εἰς τρυφὴν ἀπειρόκαλον ⟨ἦν⟩ ἐξογκῶν τὴν ἀρχὴν οὐδὲ τῶν βασιλείων θησαυρῶν κατορχούμενος, ἀλλὰ τὴν μέσην ὁδὸν βαδίζων καὶ ὄντως βασιλικήν. Ἦν δὲ καὶ τὸ εἶδος αὐτῷ χάριτος μεστὸν καὶ σεμνότητος, ἱλαρὸς μὲν τὸ ἦθος, οὗ δὲ δεῖ βασιλικὴν πρᾶξιν ἁρμόσασθαι, εἴσω συννενευκώς, νενηφὼς ἀεὶ καὶ τῇ ὀφρύι διδοὺς ἦθος ὑπόσεμνον, ἐμβριθεῖσθαι σφοδρὸς καὶ χαριεντίσασθαι γλαφυρός, συστεῖλαι δυσμενῆ φοβερός.

Ἀλλ' ἔδει καὶ τοῦτον τύχης ποτὲ πάρεργον γενέσθαι καὶ τῆς ἀλογίστου φορᾶς. Καὶ μέντοι καὶ γέγονε, καὶ ὁ λόγος τὴν αἰτίαν διηγείσθω τοῦ ἀτυχήματος. Ἀδελφὸς ἦν τῷ βασιλεῖ τούτῳ Λέων τὸ ὄνομα, ὃν δὴ καὶ κουροπαλάτην ὁ βασιλεὺς ὀνομάσας (τὸ δ' ἀξίωμα τοῦτο ἡρωϊκόν τε καὶ εὔδαιμον, εἰ καὶ νῦν κοινόν τε καὶ πολυάνθρωπον γέγονεν), οὗτος ὁ Λέων ὑπεκάθητο τῷ θαυμαστῷ Ἰωάννῃ τῷ Τζιμισχῇ καὶ φθόνου μεστὸς ὑπεβλέπετο καὶ τὸν ἀδελφὸν ἔπειθε μὴ πάντα πιστεύειν ἐκείνῳ, ἀλλ' ὑφορᾶν τε καὶ ὑποπτεύειν, χαλιναγωγεῖν τε καὶ καταστέλλειν, μήπου τι καὶ θράσος ἀλόγιστον ἐνδείξηται κατ' αὐτοῦ. Ὁ δὲ τὰ μὲν πρῶτα ὑφεωρᾶτο καί πού τι καὶ κακῶσαι τοῦτον προείλετο, ἀλλὰ τῇ ἀρχαίᾳ φιλίᾳ διδοὺς εἰς πραότητα μετερρύθμιζε τὸν θυμόν.

Συνηνέχθη δέ τι καὶ ἕτερον τῷ βασιλεῖ Νικηφόρῳ. Σεμνὸς ἐκ πρώτης ἡλικίας ὁ βίος καὶ οὐ πάνυ τι ἐπλησίαζεν γυναιξίν. Ἐπεὶ δὲ καὶ τῶν τῆς βασιλείας φροντίδων ἐγένετο, τῆς πρὸς τὴν βασίλειαν ὁμιλίας ἀπείχετο. Τῇ δὲ μίσους τοῦτο ὑπέκκαυμα γίνεται. Διετάραξε δὲ αὐτὴν καὶ λόγος ἀνὰ τὴν πόλιν βοώμενος, ὡς βούλοιτο ὁ βασιλεὺς Νικηφόρος Βασίλειον καὶ Κωνσταντῖνον τοὺς Ῥωμανοῦ παῖδας τῶν παιδογόνων μορίων ἀποτεμεῖν καὶ τὸν ἀδελφὸν βασιλέα ποιήσασθαι. Ἡ δὲ Θεοφανὼ καὶ τὸ ἀνομίλητον μισήσασα τοῦ ἀνδρὸς καὶ τὸ ᾀδόμενον ὑποπτεύσασα ἐζήτει καθ' ἑαυτήν, πῶς ἂν τὸν Νικηφόρον ἀποφορτίσαιτο. Αὕτη πολλάκις τὸν

3 ἐκείνην **9** αὐτὰ **10** μόνῃ τῇ ἀληθείᾳ ms. : servavi, veritatem ut utensile venationis interpretans. Fortasse autem legendum μόνην τὴν ἀλήθειαν **11** ἦν : supplevi quia sententia verbo principali caret **15** ἐμβριθεῖσθαι : ἐμβοηθῆσθαι *vide comm.* **19—20** anacoluthon, quod solvere potes addendo ἦν post κουροπαλάτην **22** μεστὸν *vide comm.* **26** κακῶσθαι *vide comm.* **30** βασίλειαν: βασιλείαν **33** Ῥωμανοῦς **36** ἀποφροντίσαιτο

Tripolis. And the whole coastal region, occupied by the enemies who profited from its natural resources, became an appendage to the territory of the Romans through these men, who took it away from the Saracen sphere of influence and transposed it to Roman rule and authority. As to Tsimiskes, he will have his story later.

As to Nikephoros, he realised very well that, having won the prize for his excellent achievements and having received, besides the graceful crown for his prowess, also the imperial crown, he should not seek to find rest nor even take a short pause; no, he continued his war efforts without delay, partly organising, partly putting on his arms and fighting himself. He was neither accessible to flattery, nor inclined to anything but the truth, nor did he admit expansion of his administration towards vulgar luxury nor dissipate the imperial treasures, but he always took the middle and truly imperial course. His appearance was also full of grace and seriousness, he was cheerful of character, but introvert where reflexion on his imperial task was concerned, always sober, showing a grave aspect on his brow, capable of both absolute earnest and subtle joking, formidable to check an enemy. It was fated, however, that even he would once become a plaything of fortune and of the sway of the irrational.

